|| ἐτιμήθη ὁ Σχολάρις ὁ κῦρ Νικήτας μέγας δοὺξ, Γρηγόριος ὁ Μει- φ.294β ζομάτης μέγας στρατοπεδάρχης, Λέων ὁ Καβαζίτης μέγας δομέστικος, Κωνσταντῖνος ὁ Δωρανίτης πρωτοβεστιάριος καὶ ὁ υἱὸς αὐτοῦ ἐπικέρνης, Ἰωάννης ὁ Καβαζίτης μέγας λογαριαστής, ὁ υἱὸς τοῦ Σχολάριος παρακοιμώμενος, Μιχαὴλ ὁ Μειζομάτης ἀμυρτζαντάριος, Τζανιχίτης ὁ Στέφανος μέγας κοντόσταυλος.

14. Μηνὶ Νοεμβρίῳ ἔτους ,ϛωνδ' κατεσχέθησαν παρὰ τοῦ βασιλέως τοῦ κῦρ Μιχαὴλ μέγας δοὺξ ὁ Σχολάρις, μέγας δομέστικος ὁ Μειζομάτης καὶ ἕτεροι αὐτῶν. Τότε ἐστάλη καὶ ὁ Κομνηνὸς κῦρ Ἰωάννης εἰς τὴν Πόλιν. Ἐν δὲ τῷ ,ϛωνε' ἔτει ἐπιάσθη ὁ Ἅγιος Ἀνδρέας καὶ τὸ Οἴναιον.

15. Μηνὶ Σεπτεβρίῳ, [ἔτους ,ϛωνϛ'], ἰνδικτιῶνος α', ἐγένετο αἰφνίδιος θάνατος, ἡ πανούκλα, ὥστε ἀπεβάλλοντο πολλὰ τέκνα καὶ συνεύνους, ἀδελφοὺς καὶ μητέρας καὶ συγγενεῖς, καὶ διεκράτησεν ἕως μῆνας ζ'.

Τῷ αὐτῷ ,ϛωνϛ' ἐν μηνὶ Ἰανουαρίῳ ἐπιάσθη ἡ Κερασοῦς, || καὶ φ.295α αἰχμαλωτίσθη καὶ ἐπυρπολήθη παρὰ Ἰανουαίων. Ἐ δὲ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Ἰουνίῳ κθ' ἰνδικτιῶνος α' ἦλθαν ἐν Τραπεζοῦντι Τοῦρκοι πολλοί, ἤγουν ἀπὸ τὸ Ἐζικάϊν Ἀχχὴς Ἀϊνάπεης καὶ ἀπὸ τὸ Παΐπερτ ὁ Μαχμάτης Εἰκεπτάρις καὶ ἀπὸ τῶν Ἀμιτιωτῶν ὁ Τυραλίπεης καὶ ὁ Ποσδογάνης καὶ Τζιαπνίδες σὺν αὐτοῖς, καὶ ἐκρότησαν

3. πρωτοβεστιάριος (α^{πρ}βεστιαρ^{ος}) Μ: τὰ βεστιάρια ΤΦ 4. ἐπικέρνης ἔγραψα: ἐπικέρνις ΜΤΦ 5. παρακοιμώμενος Μ: παρακεκοιμώμενος Τ: παρακεκοιμωμένος Φ ἀμυρτζαντάριος (ἀμυρτζαντ^{ρ}) Μ: Αμιρυντζαύτζης ΤΦ 6. κοντόσταυλος ἔγραψα: κοντοσταῦλος ΜΤΦ 10. Πόλιν ἔγραψα: πόλιν ΜΤΦ 11. Οἴναιον ἔγραψα. Ἴδε καὶ Φ ἐν σημειώσει: ὔναιον Τ: ὔνοιον Φ. Πρβλ. ἀνωτέρω σ. 273,25, κατωτέρω σ. 290,13 12. Σεπτεμβρίῳ Μ σεπτευβρίω ἔγραψα ΤΦ: ἔτους ,ϛωνϛ' προσέθηκα ὁδηγούμενος ἐκ τῆς α' ἰνδικτιῶνος καὶ τῶν κατωτέρω τῷ αὐτῷ ,ϛωνϛ': λείπουσι ΜΤΦ 14. ἕως Μ: εἰς ΤΦ 17. Ἰανουαίων ἔγραψα: Ἰανου^{ω} Μ: Ἰανουϊτῶν Τ: Ιανουΐτων Φ 19. ἐζικάϊν Μ: ἐζικαίν Φ: Τζικαΐν Τ αϊναπένς (;) Μ. Πρβλ. Φ σ. 79: Ἀϊναπάκ Τ: αἰναπακ Φ Παΐπερτ ΜΦ: Παίπερτ Τ 20. Μαχμάτης ἔγραψα: μαχματ' Μ: Μαχμὰτ ΤΦ Εἰκεπτάρις Τ: εἴκεπτάρϊς Μ: Ερ' κεπτάρις Φ Τυραλίπεης ἔγραψα: τυραλῖ πέη Μ: Τουαλὶ πὲκ ΤΦ 21. Ποσδογάνης ΜΦ: ποστογάνης Τ Τζϊαπνίδες Μ: Γζιαννίδες ΤΦ. Ἴδε σ. 290,18 ἐκρότησαν ΤΦ: ἐκράτεισαν Μ. Ἴδε κατωτέρω σ. 276,6.- 288,2.- 283,11.- 288,2

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΙΣ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πόλεμον ἡμέρας γ' καὶ ἀπῆλθαν κατῃσχυμμένοι καὶ πεπληγωμένοι φυγάδες, ἀποβαλόμενοι ἐν ὁδῷ Τούρκους πολλούς.

Μηνὶ Μαΐῳ ε', ἡμέρᾳ γ', ἔτους ,ϛωνζ' ἦλθαν ἐνταῦθα ἐκ τοῦ Καφᾶ κάτεργα φράγκικα β'. Καὶ ἐξῆλθεν καὶ ἡμέτερον κάτεργον ἓν μέγαν ἐκ τῆς Δαφνούντας καὶ ἕτερον μικρὸν καὶ βαρκόπουλα ἱκανά, καὶ ἐκρότησαν πόλεμον, καὶ παραχωρήσει θεοῦ ἐνίκησαν οἱ Φράγκοι, καὶ ἐσκοτώθη ὁ μέγας δοὺξ Ἰωάννης ὁ Καβαζίτης καὶ κῦρ Μιχαὴλ ὁ
φ.295β Τζανιχίτης καὶ ἕτεροι πολλοί. Τὸ δὲ κάτεργον || ἐκαύθη, καὶ οἱ ἐν τῇ στερεᾷ Φράγκοι ἡρπάγησαν καὶ περιωρίσθησαν· τὰ δὲ κάτεργα ἀπῆλθον.

Κατὰ δὲ τὸν Ἰούνιον μῆνα ιε', ἔτους ,ϛωνζ' πάλιν ἦλθαν ἐκ τοῦ Καφᾶ κάτεργα γ' καὶ μία βάρκα ἐξ Ἀμινσῶ. Καὶ μετὰ πολλῶν λόγων καὶ ὀχλήσεων καὶ ζητήσεων γέγονεν ἀγάπη, καὶ παρεδόθη πρὸς αὐτοὺς τὸ Λεοντόκαστρον. Τότε γὰρ ἀσθένεια ἐνίκησε τὸν βασιλέα τὸν κῦρ Μιχαήλ· ὅτε καὶ ὁ Σχολάρις ὁ κῦρ Νικήτας, ἐκ τοῦ Κεχρινᾶ ἐλθών, γέγονε μέγας δούξ, λαβὼν τὴν θυγατέρα τοῦ Σαμψών. Ἐβασίλευσε δὲ ὁ κῦρ Μιχαὴλ χρόνους ε' καὶ μῆνας ζ' ἥμισυν.

16. Μηνὶ Δεκεμβρίῳ ιγ', ἡμέρᾳ α', ἔτους ,ϛωνη' κατεβιβάσθη ἐκ τῆς βασιλείας ὁ κῦρ Μιχαὴλ ὁ Κομνηνός, καὶ εἰς τὰς κβ' τοῦ αὐτοῦ μηνός, ἡμέρα γ' εἰςῆλθεν εἰς τὴν Τραπεζοῦντα καὶ παρέλαβε τὴν βασιλείαν ὁ δεύτερος υἱὸς κῦρ Βασιλείου τοῦ Κομνηνοῦ, ὁ κῦρ Ἰωάννης, ὁ ἐπονομασθεὶς κατὰ τὸν πάππον κῦρ Ἀλέξιος, σὺν τῇ δεσποίνῃ
φ.296α καὶ μητρὶ αὐτοῦ κυρᾷ Εἰρήνῃ τῇ μεγάλῃ Κομνηνῇ, καὶ ἐστέ||φθη ἐν τῷ ναῷ τοῦ Ἁγίου Εὐγενίου μηνὶ Ἰανουαρίῳ εἰς τὰς κα' κατὰ τὴν τοῦ ἁγίου ἑορτήν. Τὸν δὲ κῦρ Μιχαὴλ περιορίσας ἐν τῷ σπηλαίῳ τοῦ Ἁγίου Σάβα ἀπέκειρε κατὰ μοναχόν· καὶ μετὰ χρόνον α' ἀπεστάλθη

1. κατῃσχυμμένοι ἔγραψα: κατησχυμένοι Μ: κατῃσχυμένοι ΤΦ πεπληγωμένοι Μ: πεπληγμένοι ΤΦ 2. ἀποβαλόμενοι ἔγραψα: ἀποβαλλόμενοι ΜΤΦ 5. δαφνούντας Μ: Δαφνοῦντος ΤΦ 6. Φράγκοι ΤΦ φραγκοι Μ 11. μῆνα ΤΦ: μην' Μ 12. βάρκα Μ: βαρκὶς ΤΦ 13. γέγονεν ΤΦ: γέγωνεν Μ 14. αὐτοὺς Φ: ἑαυτοὺς ΜΤ 15. κεχρινᾶ Μ Κεχρίνα ΤΦ 17. ε' Μ: β' ΤΦ ἥμισυν ἔγραψα: βραχ. Μ: λείπει ΤΦ

19 (καὶ 24). τὰς ἔγραψα: τ^ά^ Μ: τὰ ΤΦ 21. δεύτερος ἔγραψα: 6^ος^ Μ: βασιλεὺς ΤΦ Βασιλείου ἔγραψα: Βασιλίου ΜΤΦ 22. πάππον ΜΦ πάππαν Τ 26. ἀπέκειρε Μ: ἀπέκαρε Φ: ἐπέκαρε Τ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰς τὴν Πόλιν μετὰ τοῦ τατᾶ κῦρ Μιχαὴλ τοῦ Σαμψών, ὅτε γέγονε καὶ ἡ συμπενθερεία πρὸς τὸν βασιλέα.

Τῷ αὐτῷ γοῦν ἔτει, τῷ ,ςωνη΄, ἐγένετο σύγχυσις καὶ ταραχὴ μέσον τῶν ἀρχόντων· καὶ Ἰουνίου μηνὸς ἐπιάσθη ὁ μέγας στρατοπεδάρχης κῦρ Θεόδωρος ὁ Δωρανίτης ὁ λεγόμενος Πιλέλης καὶ ὁ ἀδελφὸς αὐτοῦ πρωτοβεστιάριος Κωνσταντῖνος ὁ Δωρανίτης καὶ πᾶσα ἡ γενεὰ αὐτοῦ, καὶ περιωρίσθησαν ἕκαστος αὐτῶν εἰς τὰ τῶν ἀρχόντων ὀσπίτια. Μετὰ δὲ ζ^ην^ τοῦ μηνὸς πάλιν ἀνεκλήθησαν.

Ἐν μηνὶ Ἰανουαρίῳ τῷ ,ςωνθ΄ ἔτει ἐπιάσθη ὁ γενόμενος πρωτοβεστιάριος Λέων ὁ Καβαζίτης, καὶ ἀνεβιβάσθη εἰς τὸ πρωτοσβεστιαρᾶτον ὁ Πιλέλης· ὅτε καὶ ὁ τατᾶς Μιχαὴλ ὁ Σαμψὼν ἀπῆλθε μετὰ κάτεργον εἰς τὴν Πόλιν ποιεῖν τὴν συμπενθερείαν καὶ λαβεῖν τὴν δέσποιναν καὶ ἐλθεῖν. || Τῷ αὐτῷ γοῦν ἔτει Μαΐῳ μηνί, ἡμέρα ε΄ ἐπιά- φ.296β σθη ὁ κουλᾶς παρὰ τοῦ Πιλέλη καὶ τῶν σὺν αὐτῷ· ἐζωγρήθη δὲ ὁ μέγας δοὺξ ὁ Σχολάρις. Ἀναταραχθεὶς δὲ ὁ λαός, πάλιν ἐλευθερώθη, καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὴν Τρίπολιν. Ὁ δὲ Πιλέλης καὶ ὁ υἱὸς αὐτοῦ καὶ ὁ γαμβρὸς αὐτοῦ καὶ οἱ τοῦ Ξενίτου παῖδες συλληφθέντες ἐστάλησαν καὶ περιωρίσθησαν εἰς τὸν Κεχρινᾶν.

Μηνὶ Σεπτεβρίῳ γ΄, ἰνδικτιῶνος ε΄, ἔτους ,ςωξ΄ ἦλθεν ἡ δέσποινα ἡ Κομνηνὴ Κανταχουζηνὴ μετὰ κάτεργον ἐκ τῆς Πόλεως, ἡ θυγάτηρ

1. Πόλιν ἔγραψα: πόλιν ΜΤΦ   τατᾶ ἔγραψα: τατὰ Μ: Τατᾶ ΤΦ   Σαμψὼν ΤΦ: σαμψὸν Μ   2. ἡ Μ λείπει ΤΦ   3. ἔτει τῷ Μ: ἔτει ΤΦ   4-5. στρατοπεδάρχης Μ: στρατοπέδαρχος Τ: στροτοπέδαρχος Φ   6. (καὶ κατωτέρω 9-10) πρωτοβεστιάριος ἔγραψα: α~βεςι^αῳ^ Μ: κατὰ βεστιάρια ΤΦ   Κωνσταντῖνος ΤΦ: κωνσταντίνος Μ   8. ὀσπίτια ΤΦ: ὀσπήτια Μ   ζ^ην^ ἔγραψα: ζ^υ^ Μ: ζ΄ ΤΦ   9. Ἰανουαρίῳ ΤΦ: ἰανουαρίου Μ   10. Καβαζίτης ἔγραψα: καβαζήτης Μ: Καβασίτης ΤΦ   πρωτοβεστιαρᾶτον ἔγραψα: α~τ βεστιαρᾶτον Μ: κατὰ βεστιαράτον ΤΦ   11. τατᾶς ἔγραψα: τατὰς Μ: Τατὰς ΤΦ   12. κάτεργον Μ: κατέργου ΤΦ   Πόλιν ἔγραψα: πόλιν ΜΤΦ   συμπενθερειάν Μ: συμπεθερείαν ΤΦ   λαβεῖν ἔγραψα. Ἴδε καὶ Φ σ. 24 σημ. *: λαβῆν ΜΦ: Χοβῆν Τ   13. καὶ Μ: λείπει ΤΦ   ε΄ ΜΦ: 6΄ Τ   14. κουλᾶς παρὰ Μ: Κουλᾶς ὑπὸ ΤΦ   δὲ Μ: λείπει ΤΦ   15. Σχολάρις ἔγραψα: σχολάρις ΤΦ: σχουλάρις Μ   ἀναταραχθεὶς ἔγραψα: ἀναταχθεὶς ΜΤΦ   17. Ξενίτου ἔγραψα: ξενίτου ΜΤΦ   18. τὸν Κεχρινᾶν Μ: τὸν Κεγχρίναν Τ: τὴν Κεγχρῖναν Φ   19. σεπτεβρίω (βραχ.) Μ: Σεπτεμβρίῳ ΤΦ   ε΄ ΜΦ: 6΄ Τ   20. Κανταχουζηνὴ Τ: κατακουζηνὴ Μ: ἡ Κανταχουζηνὴ Φ   Πόλεως ἔγραψα πόλεως ΜΤΦ

Ε.Υ.Δ. τμ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κῦρ Νικηφόρου τοῦ Καντακουζηνοῦ τοῦ σεβαστοκράτορος, πρώτου ἐξαδέλφου ὄντος τοῦ βασιλέως Ῥωμαίων κῦρ Ἰωάννου τοῦ Καντακουζηνοῦ, καὶ εἰς τὰς κη΄ ἡμέρας πρῶτον ἐγένετο εὐλόγησις αὐτῆς μετὰ τοῦ βασιλέως ἐν τῇ μονῇ τοῦ Ἁγίου Εὐγενίου.

Τῷ αὐτῷ γοῦν ἔτει τῷ ͵ςωξ΄, Σεπτεβρίου κβ΄ ἀπήλθαμεν μὲ τὴν δέσποιναν, τοῦ βασιλέως τὴν μητέρα, εἰς τὰ Λιμνία κατὰ τοῦ κεφα-
297α λατικεύοντος ἐκεῖσε Κωνσταντίνου τοῦ Δωρα‖νίτου, ἀδελφοῦ τοῦ πρωτοβεστιαρίου τοῦ Πιλέλη. Καὶ λείψαντες μῆνας γ΄ πάλιν ἤλθαμεν.

17. Κατὰ δὲ τὸν Ἰανουάριον μῆνα τῷ αὐτῷ ἔτει εἰςῆλθεν ὁ πικέρνης Ἰωάννης ὁ Τζανιχίτης, καὶ ἐκράτησε τὴν Τζάνιχαν τὸ κάστρον ἀνάρχῳ χειρί. Καὶ κατὰ τὸν Ἀπρίλιον μῆνα τῷ αὐτῷ ἔτει ἀπῆλθεν ὁ βασιλεὺς ἐκεῖσε καὶ ἡ δέσποινα, καὶ ἐποίησεν εἰρηνικὴν κατάστασιν. Καὶ κατὰ τὸν Ἰούλιον μῆνα τῷ αὐτῷ ἔτει ἐπαρεδόθησαν τῇ ἀγχόνῃ ὁ Πιλέλης καὶ ὁ υἱός του καὶ ὁ γαμβρός του ἐν τῷ Κεχρινᾷ κάστρῳ. Τῷ αὐτῷ ͵ςωξ΄ ἔτει ἀπῆλθεν ἡ ἀδελφὴ τοῦ βασιλέως κυρὰ Μαρία ἡ μεγάλη Κομνηνή, καὶ συνεζεύχθη τὸν Χουτλουπέκην τὸν υἱὸν τοῦ Τουραλῆ, ἀμηρᾶν ὄντα τῶν Ἀμιτιωτῶν, μηνὶ Αὐγούστῳ. Τῷ αὐτῷ μηνὶ καὶ ἔτει ἦλθαν τὰ βενέτικα τὰ κάτεργα κατὰ τῶν Γενουβίσων, καὶ ἔκαυσαν καράβια πολλά.

φ.297β Τῷ αὐτῷ μηνὶ Ἰουνίῳ, ἔτους ͵ςωξβ΄ ἀπῆλθεν ὁ Σχολάρις ‖ φυγαδίας εἰς τὴν Κερασοῦντα, καὶ ἔκτοτε τὰ γενηθέντα διὰ μέσον μηνύματα καὶ ἀποκρισιαρίκια τίς δύναται γράφειν;

18. Μηνὸς Μαρτίου κε΄, ἔτους ͵ςωξγ΄ ἦλθεν ὁ μέγας δοὺξ ὁ Σχολάρις καὶ ὁ υἱὸς αὐτοῦ ὁ παρακοιμώμενος κατὰ τῆς Τραπεζοῦντος

1. τοῦ σεβ. Μ: σεβ. ΤΦ    3. τὰς ἔγραψα: τ^α^ Μ: τὰ ΤΦ    κη΄ ΜΤ: κ΄ Φ    ἡμέρας Μ: ἡμέρα ΤΦ    5. Σεπτεβρίου ἔγραψα σεπτευρίου Μ: Σεπτεμβρίου ΤΦ    ἀπήλθαμεν ΜΦ: ἀπήλθαμέν Τ

7-8. πρωτοβεστιαρίου ἔγραψα: α̃^τ^ βε^στ^ Μ: κατὰ βεστιάριον ΤΦ    9. μῆνα ΤΦ: μην΄ Μ    9-10. πικέρνης ἔγραψα: πικέρνις ΜΤΦ    10. Τζανιχίτης ΤΦ: τζανιχίτης ἐκ τοῦ τὸ πρῶτον γραφέντος τζανιχείτης Μ    15. κεχρινᾶ Μ: Κεχρινᾷ Τ: Κεγχρίνα Φ    16. Κομνηνὴ ΤΦ: κομνηνῆ Μ    17. ἀμηρᾶν ἔγραψα: ἀμηρὰν Μ: Ἀμηρὰν Φ: Ἀμηράν, Τ    μηνὶ αυγούστω Μ μηνὸς Αὐγούστου ΤΦ    20-21. φυγαδίας Μ: φυγάδας ΤΦ    21. ἔκτοτε Μ: ἐκ τότε ΤΦ    γενηθέντα Μ: γεννηθέντα ΤΦ    μηνύματα Μ: μηνὶ μετὰ ΤΦ    22. ἀποκρισιαρίκια Μ: ἀποκρισιάρια ΤΦ    23. κε΄ Μ: κε΄ ΤΦ    24. παρακοιμώμενος Μ: παρακοιμωμένος Φ: παρακεκοιμωμένος Τ

ΕΡΓΑΣΤΗΡΙΟ ΨΗΦΙΟΠΟΙΗΣΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΣΗ ΒΙΒΛΙΟΘΗΚΗΣ ... Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

μετὰ ἓν κάτεργον καὶ βάλκας ια', ὅτε ἀπῆλθε σὺν αὐτῷ καὶ ὁ πρωτοβεστιάριος Βασίλειος ὁ Χούπακος, καί, πολλῶν λόγων καὶ ὀχλήσεων γενομένων, πάλιν ἐγένετο κατάστασις, καὶ ἀπῆλθον εἰς Κερασοῦντα.

Ἐν τῷ αὐτῷ ἔτει ,ϛωξγ', μηνὶ Μαΐῳ, ἰνδικτιῶνος η' ἁρματώσας ὁ βασιλεὺς κάτεργα δύο καὶ ξύλα μικρὰ ἱκανά, ⟨καὶ⟩ ἀπῆλθεν ἅμα τῇ μητρὶ καὶ δεσποίνῃ καὶ τῷ μητροπολίτῃ κατὰ τοῦ Σχολάρι ἐν Κερασοῦντι, ὅτε καὶ ὁ μὲν Σχολάρις ἦν ἐν τῷ Κεχρινᾷ, ὁ δὲ παρακοιμώμενος ἐν Κερασοῦντι. Μετὰ δὲ τὴν μάχην καὶ τὸν πόλεμον ἐγένετο κατάστασις, καὶ προςκυνήσασα ἡ Κερασοῦς τὸν βασιλέα. Ὁ δὲ παρακοιμώμενος ἐξελθὼν ἀπῆλθεν εἰς || τὸν πατέρα αὐτοῦ ἐν φ.298α τῷ Κεχρινᾷ, καὶ ἦσαν ἅπαντες οἱ περὶ τὸν Σχολάριν ἐκεῖ. Καὶ ὁ μὲν βασιλεύς, τὸν στόλον καὶ τὴν δέσποιναν ἀφεὶς ἐν τῇ Τριπόλει, ἦλθεν ἐνταῦθα, καὶ λαμβάνει στρατὸν καβαλλαρικόν, καὶ ἀπῆλθε τότε διὰ θαλάσσης, καὶ τὸ διὰ ξηρᾶς διάστημα περιώρισεν ἅπαντας ἐν τῷ Κεχρινᾷ· ὅτε καὶ πόλεμος ἐγένετο, προςκυνήσαντες τὸν βασιλέα, καὶ ἀνευφήμησαν. Ὁ μὲν βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἅπαντες ὑπέστρεψαν, ὁ δὲ Σχολάρις καὶ οἱ σὺν αὐτῷ ἀνέμειναν ἐκεῖ· ὅτε ἦλθε καὶ ὁ πρωτοβεστιάριος ἐκ τῶν Λιμνίων καὶ οἱ περὶ αὐτόν.

Περὶ δὲ τὸν Αὔγουστον μῆνα τοῦ αὐτοῦ ,ϛωξγ' ἔτους ἐκστρατεύσας ὁ δοὺξ Χαλδίας Ἰωάννης ὁ Καβαζίτης ἀπῆλθε καὶ ἐπίασε τὴν Χερίαναν καὶ ᾐχμαλώτευσεν αὐτήν· ὅτε ἐλευθερώθη καὶ ἡ Σορώγαινα, καὶ γέγονεν εἰς τὴν βασιλικὴν ὑποχειριότητα. Τῷ αὐτῷ ἔτει ἐξῆλθε καὶ ὁ κῦρ Μιχαὴλ ὁ μέγας Κομνηνὸς ἐκ τῆς πόλεως, καὶ ἦλθε μέχρι καὶ τοῦ Σουλχατίου, καὶ πάλιν ὑπέστρεψε.

19 || Μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος θ', ἔτους ,ϛωξδ' ἀπῆλθεν ὁ φ.298β μέγας δομέστικος ὁ Μειζομάτης καὶ ὁ μέγας στρατοπεδάρχης ὁ Σαμ-

1. βάλκας ΜΤΦ. Ἴδε καὶ Νέου Ἑλληνομνήμονος Τόμ. Δ' σ. 143, 16, 17.

αὐτῷ ΜΦ: αὐτῇ Τ 1-2 πρωτοβεστιάριος ΤΦ: α^τ βεστιάριος Μ 2. Βασίλειος ἔγραψα: Βασίλιος ΜΤΦ Χούπακος Μ: Χουπάκθ Τ: Χουπάκης Φ. Ἀλλ' ἴδε κατωτέρω σ. 281, 16. 5. ἁρματώσας Μ: ἀρματώσας ΤΦ 7. μητρὶ ΜΦ: μαμᾷ Τ Σχολάρι ἔγραψα: σχολάρι ΤΦ: σχουλάρι Μ 8. ἦν ΤΦ: ἦν Μ κεχρινᾶ Μ: Κεγχρινᾷ Τ: Κεγχρίνᾳ Φ 12 (καὶ 16). κεχρινᾶ Μ: Κεγχρινᾷ ΤΦ 15. διὰ θαλάσσης ΤΦ: δϊαθαλάσσης Μ 20. αὔγουστον Μ: αὐτὸν ΤΦ 25. ὑπέστρεψε Μ: ὑπέστρεψεν ΤΦ

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ψῶν εἰς τὰς Τριπόλεις καὶ ἕως τοῦ Κεγχρινᾶ, καὶ παρέλαβον τὸν Σχολάριν καὶ τοὺς περὶ αὐτόν, καὶ ἦλθον, καὶ γέγονεν εἰρηναία κατάστασις.

20. Μηνὶ Νοεμβρίῳ κζ', ἡμέρα ς', ἰνδικτιῶνος θ', τοῦ ,ςωξδ' ἔτους ἀπήλθομεν μετὰ τοῦ βασιλέως κατὰ τῆς Χερίανας ἀπὸ διαβολικῆς συνεργίας. Καὶ πρῶτον μὲν ἐκουρσεύσαμεν, ἐπολιορκήσαμεν καὶ ἠχμαλωτίσαμεν. Περὶ δὲ τὴν ἕκτην ὥραν ἐφύγομεν φυγὴν ἄκοσμον, ὀλίγων Τούρκων διωκόντων ἡμᾶς. Τότε τοίνυν ἐσκοτώθησαν Χριστιανοὶ ὡσεὶ ν' καὶ ἐχαώθησαν καὶ ἄλογα πολλά, καὶ ὁ δοὺξ Χαλδίας Ἰωάννης ὁ Καβαζίτης ἐπιάσθη. Καὶ εἰ μὴ Κύριος ἦν ἐν ἡμῖν, ἀπολώμην ἂν καὶ αὐτὸς ἐγώ. Ἀλλά, θεοῦ εὐδοκοῦντος, ἴσχυσέ μου ὁ ἵππος, καὶ κατόπιν βαίνων τοῦ βασιλέως ἐλευθερώθημεν, καὶ μετὰ τρεῖς ἡμέρας
φ. 299α κατελάβομεν ἐν Τραπεζοῦντι. Τότε τοίνυν ἐγέννησε καὶ ὁ ‖ βασιλεὺς υἱὸν τὸν κῦρ Ἀνδρόνικον ἐξ ἄλλης γαστρὸς καὶ οὐκ ἀπὸ τῆς δεσποίνης.

21. Μηνὶ Δεκεμβρίῳ ιθ', ἰνδικτιῶνος ι', ἔτους ,ςωξε' ἐκινήσαμεν μετὰ τοῦ βασιλέως εἰς τὰ Λιμνία, ποιήσαντες τὴν πρόκυψιν τῆς Χριστοῦ γεννήσεως εἰς Κερασοῦντα, τῶν δὲ Φώτων εἰς τὸ Ἰασόνιν· ὅτε ἐσκοτώθησαν καὶ Τοῦρκοι ιδ'. Ἀπελθόντες γοῦν εἰς τὰ Λιμνία καὶ πάλιν στραφέντες, λείψαντες τὰ πάντα τρεῖς μῆνας, πάλιν κατελάβομεν ἐν Τραπεζοῦντι ὑγιεῖς.

22. Περὶ τὸν Ἀπρίλιον μῆνα εἰς τὰς ἕξ, τῇ μεγάλῃ ε', τοῦ αὐτοῦ ,ςωξε' ἔτους ἐγεννήθη τῷ βασιλεῖ θυγάτηρ, ἡ κυρὰ Ἄννα, ἐκ τῆς δεσποίνης ἡμῶν τῆς κυρᾶς Θεοδώρας, ἰνδικτιῶνος ι'.

23 Μηνὶ Μαΐῳ, ἰνδικτιῶνος ι', ἔτους ,ςωξε' ἀπῆλθεν ὁ βασιλεὺς μετὰ φωσσᾶτον εἰς τὸν Παρχάριν, καὶ ἐγύρισε τὸν τοιοῦτον Παρχάριν ὅλον.

24. Μηνὶ Νοεμβρίῳ ια', ἡμέρᾳ ζ', ἰνδικτιῶνος ια', τοῦ ,ςωξς' ἔτους ἦλθεν ἡ δέσποινα τῆς Σινώπης, ἡ κυρὰ Εὐδοκία, ἡ θυγάτηρ κῦρ

1. Τριπόλεις ἔγραψα: Τριπόλις ΜΤΦ Κεγχρινᾶ ΜΤΦ 2. περὶ ΤΦ: περι Μ 5. χερίανας Μ: Χεριάνας ΤΦ 6. συνεργίας Μ: συνεργείας ΤΦ ἐπολιορκήσαμεν Μ: ἐπολιορκεύσαμεν ΤΦ 7. ἕκτην ἔγραψα: ςτν (βραχ.) Μ: ς' ΤΦ 9. ν' Μ: υ' ΤΦ 14. οὐκ ἀπὸ Μ: γυναῖκα πρὸ Τ; γκᾶ..πὸ Φ 17. φώτων Μ; φωτῶν ΤΦ Ἰασόνιν ἔγραψα: ιασώνιν Μ: Ἰασώνιν ΤΦ 19. μῆνας ΤΦ: μήνας Μ 21. τὰς ἔγραψα: τὰ ΜΤΦ

ΙΩΑΝΝΙΝΑ 2006

Ἀλεξίου τοῦ μεγάλου Κομνηνοῦ. Μηνὶ τῷ αὐτῷ ιγ', ἡμέρα β', ἰνδικτιῶνος ια', τοῦ αὐτοῦ ‖ ,ϛωξϛ' ἔτους, ἀμελησάντων ἡμῶν τὴν φύ- φ.299β λαξιν, εἰςῆλθεν εἰς τὴν Ματζούκαν ὁ Χατζυμύρις, ὁ υἱὸς τοῦ Παϊράμη, μετὰ φωσσάτου πολλοῦ, καὶ ἐκούρσευσεν αἰχμαλωσίαν πολλὴν καὶ ζῷα καὶ πράγματα, ἤγουν ἀπὸ τὴν Παλαιοματζούκαν καὶ ἕως εἰς τὸ Δικαίσιμον.

25. Τῷ αὐτῷ ἔτει, μηνὶ Ἰανουαρίῳ κϐ' ἦλθεν ἐκ τῆς Κωνσταντινουπόλεως ἀποκρισιάρις Ἰωάννης ὁ Λεοντόστηθος.

26. Μηνὶ Αὐγούστῳ κϐ', ἡμέρᾳ δ', ἰνδικτιῶνος ια', τοῦ ,ϛωξϛ' ἔτους ἦλθεν ἡ δεσποινάχατ ἡ κυρὰ Μαρία, ἡ τοῦ βασιλέως ἀδελφή, εἰς τὴν Τραπεζοῦντα, ἤτοι ἡ τὸν Ἀμιτιώτην συζευχθεῖσα Χουτλουπέκην.

Μηνὶ Αὐγούστῳ εἰς τὰς κθ', ἡμέρα δ' ἀπῆλθεν ἡ θυγάτηρ τοῦ βασιλέως κῦρ Βασιλείου ἡ κυρὰ Θεοδώρα πρὸς τὸ συζευχθῆναι τὸν ἀμηρᾶν Χατζυμύριν τὸν υἱὸν τοῦ Παϊράμη, ἔχουσα νυμφοστόλον τὸν Χούπακα κῦρ Βασίλειον τὸν σχολάριν ἰνδικτιῶνος ια', ἔτους ,ϛωξϛ'.

27. Μηνὶ Σεπτεϐρίῳ ιζ', ἡμέρᾳ ϐ' μετὰ τὸ ἀπόδειπνον ἐγεννήθη τῷ βασιλεῖ υἱός, ὃν ‖ καὶ ἐκάλεσε κατὰ τὸν πάππον Βασίλειον ἰνδι- φ.300α κτιῶνος ιϐ', ἔτους ,ϛωξζ'.

28. Μηνὶ Ἀπριλίῳ, ἰνδικτιῶνος ιγ', ἔτους ,ϛωξη' εἰςῆλθεν ὁ βασιλεὺς εἰς τὴν Χαλδίαν κτίζειν Τοῦ κούχου. Ἐλθὼν δὲ ἐκ τοῦ Παϊπερτίου ὁ Χοτζιαλατίφης μετὰ τ' καϐαλλαρίων ἐνεπόδισεν· ὅτε καὶ τὸν Καϐαζίτην Ἰωάννην παρέλυσε τοῦ κεφαλατικίου.

3 ματζοῦκαν Μ: Ματζοῦκαν ΤΦ  χατζῦμύρις Μ: Χατζύμυρις ΤΦ
3-4. Παϊράμη ἔγραψα: Ἴδε κατωτέρω στ. 15: παϊράμη Μ: Παιράμη ΤΦ
4. μετὰ ΤΦ: μετα Μ  αἰχμαλωσίαν πολλὴν Μ: αἰχμαλωσίαν, πολλὰ ΤΦ
5. Παλαιοματζούκαν ΜΤ: Παλαιοματζοῦκαν Φ  6. δϊκαίσϊμον Μ: Δικαίσμον ΤΦ  7. τῶ αὐτῶ ἔτει Μ: Τοῦ αὐτοῦ ἔτους ΤΦ  8. Λεοντόστηθος ἔγραψα: λεοντόσστηθος ΜΤΦ  10. δεσποινάχατ Μ. Δεσποινάχατ Τ: Δεσποιναχάτ Τ  11. Χουτλουπέκην ΤΦ: χουτλουπέκειν Μ
13. τὰς ἔγραψα: τὰ ΜΤΦ  15. ἀμηρᾶν ἔγραψα: ἀμηρὰν Μ: Ἀμηρὰν ΤΦ  Χατζυμύριν ἔγραψα: χατζῦμήριν Μ: Χατζύμυριν ΤΦ
παϊράμη Μ: Παιράμη ΤΦ  16. Χούπακα ΤΦ. χούπακα Μ: Ἀλλ' ἴδε ἀνωτέρω σ. 279, 2..  17. Σεπτεϐρίω ἔγραψα: σεπτευρίῳ ἐκ τοῦ τὸ πρῶτον γραφέντος σεπλευρίω (βραχ.) Μ: Σεπτεμβρίῳ ΤΦ  ἐγεννήθη ΤΦ: ἐγενήθη Μ
21-22. παϊπερτίου Μ: Παιπερτίου ΤΦ  22. τ' Μ: τῶν ΤΦ  καϐαλλαρίων ΤΦ: καϐαλαρίων Μ  ἐνεπόδισεν Μ: καὶ ἐπόδισεν ΤΦ

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

29. Μηνὶ Μαΐῳ ε', ἡμέρα δ', ἰνδικτιῶνος ιδ', τοῦ ,ϛωξθ' ἔτους, ὥρᾳ ε' ἐγένετο ἔκλειψις ἡλίου, οἵα οὐκ ἐγένετο ἐν τῇ καθ' ἡμᾶς γενεᾷ, ὥςτε ἐφάνησαν καὶ ἀστέρες ἐν τῷ οὐρανῷ, καὶ ἐκράτησεν ὥρας α' ἡμίσειαν. 'Ο δὲ βασιλεὺς κῦρ 'Αλέξιος καὶ ἡ μήτηρ αὐτοῦ, ἡ κυρὰ Εἰρήνη, καί τινες τῶν ἀρχόντων, κἀγὼ σὺν αὐτοῖς, εὑρέθημεν κατὰ συγκαιρίαν ἐν τῇ κατὰ τὴν Ματζούκαν μονῇ τῆς Σουμελᾶς, ποιήσαντες δεήσεις πολλὰς καὶ παρακλήσεις.

Τῷ αὐτῷ ,ϛωξθ' ἔτει, ἤτοι πρὸ ἓξ μηνῶν, Δεκεμβρίῳ μηνὶ εἰς τὰς ϛ' ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὰ Λιμνία, ἔνθα ποιήσας ὡςεὶ γ' ἥμισυν μῆνας πάλιν ἦλθε.

Τῷ αὐτῷ ,ϛωξθ' ἔτει ἦλθεν ἐκ τῆς Πόλεως ἀποκρισιάρις ὁ Λεον-
φ.300β τόστηθος ὡς || ἀπὸ τοῦ βασιλέως κῦρ 'Ιωάννου τοῦ Παλαιολόγου, ζητῶν συμπενθερείαν μετὰ τοῦ βασιλέως ἡμῶν.

Τῷ ,ϛωξθ' ἔτει, ἰνδικτιῶνος ιδ', μηνὶ 'Ιουλίῳ, ἡμέρᾳ δ', ὥρᾳ τοῦ ἀποδείπνου, ἐκοιμήθη ὁ μέγας δοὺξ Νικήτας ὁ Σχολάρις· ὅτε καὶ ὁ βασιλεὺς μεγάλως ἐλυπήθη, ἐπιστὰς ἐν τῇ προπομπῇ τῆς ἐξόδου αὐτοῦ, φορέσας καὶ λε_κὰ διὰ τὴν θλῖψιν, καθὼς εἴθισται τοῖς ἄναξι.

Μηνὶ 'Ιουλίῳ κγῃ, ἡμέρᾳ ϛ', ἰνδικτιῶνος ιδ', τοῦ ,ϛωξθ' ἔτους ὁ ἀπὸ τοῦ Παϊπερτίου κεφαλὴ Χοτζιαλατίφης, λαβὼν ἐπιλέκτους στρατιώτας ὡςεὶ υ' καὶ πρὸς, εἰςῆλθεν κατὰ τὴν Ματζούκαν πρός τε τὴν Λαραχανὴν καὶ Χασδένιχαν. Οἱ δέ γε Ματζουκαῖται, προκαταλαβόντες τὰς διεξόδους, ἔκτειναν ὡςεὶ σ' Τούρκους καὶ πλείους, ἁρπάσαντες καὶ ἄλογα καὶ ἄρματα πολλά· καὶ αὐτὸν τὸν Χοτζιαλατίφην

1. δ' Μ: 6' ΤΦ 2. ὥρα ε' (βραχ.) Μ: λείπουσι ΤΦ οἵα ΤΦ: οἷα Μ 3. ἐκράτησεν ΤΦ: ἐκράτεισεν Μ 4. ἡμίσειαν (βραχ.) Μ: ρ'' ΤΦ 5. καί τινες ΤΦ: καὶ τινὲς Μ κἀγὼ Μ: καὶ ἐγὼ ΤΦ 6. Ματζούκαν ΜΤ: Ματζοῦκαν Φ 8. τὰς ἔγραψα: τὰ ΤΦ 9. ἥμισυν (βραχ.) Μ: λείπει ΤΦ 11. Πόλεως ἔγραψα: πόλεως ΜΤΦ 11-12. Λεοντόστηθος ἔγραψα: λεοντόστηθος ΜΤΦ 13. συμπενθερείαν ΤΦ: συμπενθερίαν Μ 14. ιδ' Μ: ια' ΤΦ. 17. θλῖψιν ἔγραψα: θλίψιν ΜΤΦ 18. κγῃ ἔγραψα: κγῃ (βραχ.) Μ: κγ' ΤΦ 19. ἀπὸ τοῦ ΜΦ: τοῦ ἀπὸ τοῦ Τ παϊπερτίου Μ: Παιπερτίου ΤΦ 20. πρὸς Μ: πρωὶ ΤΦ τε Μ: τε καὶ ΤΦ 21. λαραχανὴν Μ: Λαραχάνην ΤΦ. "Ιδε κατωτέρω σ. 287,2. χασδένιχαν Μ: Χασδενίχαν ΤΦ Ματζουκαῖται ἔγραψα: Ματζουκαίται ΜΤΦ 22. σ' Μ: ϛ' Τ: ϟ Φ 23. ἄρματα ἔγραψα: ἅρματα ΜΤΦ Χοτζιαλατίφην ἔγραψα: χοτζιάλατίφιν Μ: Χοτζιαλατίφιν ΤΦ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καρατομοῦσι, καὶ τῇ ἐπαύριον θριαμβεύουσι τὰς κεφαλὰς αὐτῶν ἀνὰ τὴν Τραπεζοῦντα ὅλην.

30. Μηνὶ Δεκεβρίῳ ιγῃ ἀπήλθομεν εἰς τὴν Χαλυβίαν μετὰ τοῦ βασιλέως εἰς τὸ || ὀσπιτόκαστρον τοῦ Χατζυμύρι, υἱοῦ τοῦ Παϊράμη, φ.301α ἤγουν μετὰ τὴν ἐν Κερασοῦντι εἰσέλευσιν αὐτοῦ καὶ ἔσμιξεν μεθ' ἡμῶν. Ἀπὸ δὲ Χαλυβίας ἤλθομεν διὰ ξηρᾶς εἰς τὴν Κερασοῦντα, ἀκολουθούντων ἡμῖν τοῦ ἀμηρᾶ Χατζυμύρι καὶ [τῶν] Τούρκων μικροῦ δεῖν δουλικῶς ἰνδικτιῶνος ιε', ,ϛωο' ἔτους.

Μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνος ιε' τοῦ ,ϛωο' ἔτους ὁ ἀπὸ τοῦ Ἐρζίγκα Ἀρχιαινάκης κατελθὼν περιεκάθισε κάστρον τὴν Γόλαχαν ὡσεὶ ἡμέρας ιϛ', στήσας καὶ μάγγανον καὶ πολέμους κροτήσας σφοδρούς. Ἀλλὰ σὺν θεῷ μηδέν τι δυνηθεὶς πρᾶξαι ἀπῆλθε μετ' αἰσχύνης κενός· ὅτε καὶ ὁ βασιλεὺς ἀνέκτισεν τὸν ἐν τῇ Κορδύλῃ ναὸν τοῦ Ἁγίου Φωκᾶ, καὶ μονὴν τοῦτον ἐποίησεν.

31. Τῷ αὐτῷ ,ϛωο' ἔτει ἐκίνησεν ὁ αἰφνίδιος θάνατος τοῦ βουβῶνος, καὶ ἐκράτησεν τὸν αὐτὸν ἐνιαυτὸν ὅλον. Πρὸς δὲ τὸ καλοκαίριν καὶ θέρος γέγονε σφοδρότατος καὶ ἐλυμήνατο, καὶ ἀποίκισε πολλούς.

Περὶ δὲ τὸν Μάρτιον μῆνα τοῦ αὐτοῦ ,ϛωο' ἔτους ἀπῆλθεν ὁ βασιλεὺς καὶ ἡ δέσποινα || καὶ ἡ μήτηρ αὐτοῦ εἰς Μεσοχάλδια, ἅμα φ.301β μὲν διὰ τὸν αἰφνίδιον θάνατον, ἅμα δὲ καὶ διὰ τὴν ἀπόδρασιν τοῦ Κομνηνοῦ Ἰωάννου ἐκ τῆς Ἀδριανουπόλεως καὶ ἔλευσιν τούτου ἐν τῇ Σινώπῃ, ἔνθα καὶ ἐκοιμήθη. Ὅτε καὶ οἱ βασιλεῖς, ἐλθόντες ἐκ Χαλδίας, οὐκ εἰςῆλθον ἐν Τραπεζοῦντι εἰς τὸ κάστρον διὰ τὸν σφοδρότατον διωγμὸν τοῦ θανάτου· ὑπῆρχε γὰρ μὴν Ἰούνιος· ἀλλ' ἐσκή-

2. Τραπεζοῦντα ΤΦ: τραπεζούντα Μ 3. δεκεβρίω (βραχ.) Μ: Δεκεμβρίῳ Τ: Σεπτεμβρίῳ Φ ιγῃ ἔγραψα: ιγῃ (βραχ.) Μ: ιγ' ΤΦ ἀπήλθομεν ΤΦ: ἀπῆλθομεν Μ 4 (καὶ 7). Χατζυμύρι ἔγραψα: χατζυμήρι ΜΤΦ παϊράμη Μ: Παιράμη ΤΦ 6. διὰ ξηρᾶς ΤΦ: διαξηρὰς Μ Κερασοῦντα ΤΦ: κερασούντα Μ 7. ἀμηρᾶ ἔγραψα: ἀμηρὰ Μ: Ἀμηρᾶ ΤΦ τῶν προσέθηκα: λείπει ΜΤΦ 8. ,ϛωο' ΜΦ: ,ϛωξο' Τ

9-10. ἐρζΐγκὰ Μ: Ἐρζίγκα ΤΦ 10. Ἀρχιαινάκης ἔγραψα: ἀχΐαΐνα[x] Μ: Ἀχχιαιναπὰκ Τ: Ἀγχιαιναπὰκ Φ 11. μάγγανον Φ: μάγκανον Μ: μάγχανον Τ 12. πρᾶξαι ΤΦ: πράξαι Μ 22. Ἀδριανουπόλεως ΤΦ: ἀδρΐἀνουπόλεως Μ

Ε.Υ.Δ τμ.Ι.Π ΙΩΑΝΝΙΝΑ 2006

νωσαν εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Ἁγιαστὴν εἰς τὸν Μίνθρον βουνόν· ὅτε καὶ πρέσβυς ἦλθεν ἐκ τοῦ τζαλαπῆ Τατζατίνη διὰ τὴν συμπενθερείαν. Τότε μικροῦ δεῖν ἐπανέστησάν τινες τῷ βασιλεῖ. Ἀποδρὰς ἐκ τῆς εἱρκτῆς καὶ ὁ υἱὸς τοῦ Κομνηνοῦ κῦρ Ἰωάννης, ⟨καὶ⟩ ἀπῆλθεν εἰς τὸν Καφᾶν, εἶτα εἰς τὸν Γαλατᾶν.

32-33. Μηνὶ Ἀπριλίῳ ἰνδικτιῶνος α΄ τοῦ ͵ςωοα΄ ἔτους ἀπήλθαμεν μετὰ τοῦ βασιλικοῦ κατέργου εἰς τὴν μεγάλην Πόλιν, ὅ τε μέγας λογοθέτης κῦρ Γεώργιος ὁ Σχολάρις καὶ ὁ πρωτοσεβαστὸς καὶ πρωτονοτάρις Μιχαὴλ ὁ Πανάρετος ὁ ταῦτα γράφων, καὶ προσεκυνήσαμεν προσκυνήσεις φοβεράς. Εἴδαμεν ‖ φ 302α καὶ τὸν βασιλέα κῦρ Ἰωάννην τὸν Παλαιολόγον καὶ τὸν βασιλέα κῦρ Ἰωάσαφ μοναχὸν τὸν Καντακουζηνόν, τὸν πατριάρχην κῦρ Κάλλιστον καὶ τὰς δεσποίνας καὶ τοὺς υἱοὺς τοῦ βασιλέως καὶ αὐτὸν δὴ τὸν καπετᾶνον καὶ ποτεστάτην τῶν ἐν τῷ Γαλατᾷ Γενουιτῶν Λεονάρδο τὲ Μουντάτο. Ὅτε ἐποιήσαμεν τὴν συμφωνίαν τῆς συμπενθερείας, ἵνα λάβῃ ὁ τοῦ βασιλέως τοῦ Παλαιολόγου ⟨ὁ⟩ υἱὸς τὴν θυγατέρα τοῦ βασιλέως τῆς Τραπεζοῦντος κῦρ Ἀλεξίου τοῦ μεγάλου Κομνηνοῦ. Καὶ ἤλθαμεν μηνὶ Ἰουνίῳ ε΄, τῷ αὐτῷ ͵ςωοα΄ ἔτει, μηνὶ Αὐγούστῳ ιε΄ νὰ ἐσμιχθῶμεν τὸν αὐτοῦ γαμβρόν, τὸν Χουτλουπέκην, τὸν υἱὸν τοῦ Τουραλῆ. Ἀλλὰ

1. πρέσβυς ΤΦ: πρέσβϊς Μ  τζαλαπῆ Μ: Τζαλαπῆ ΤΦ. Ἀλλ' ἴδε σ. 290,5,13.  Τατζατίνη ΜΠΦ. Ἀλλ' ἴδε Τατζιατίνη ἐν σ. 290,5. 292,3.
2-3. συμπενθερείαν ΤΦ: συμπεθερίαν Μ  3. ἐπανέστησάν τινες ΤΦ: ἐπανέστησαν τϊνὲς Μ  4. Ἰωάννης Φ: Ἰωάννου ΜΤ
5. Καφᾶν ἔγραψα: Καφὰν ΜΤΦ  Γαλατᾶν ἔγραψα: γαλατὰν Μ: Γαλάταν ΤΦ  6-7. ἀπήλθαμεν ΤΦ: ἀπῆλθαμεν Μ  7. Πόλιν ἔγραψα: πόλιν ΜΤΦ  8. πρωτοσεβαστὸς ἔγραψα: α~τ σεβαστὸς Μ: Σεβαστὸς ΤΦ
9. πρωτονοτάρις ἔγραψα: ἆτνοτάρις Μ: ὁ νοτάρις ΤΦ  γράφων ΤΦ: γράφον Μ  10. προσκυνήσεις ΤΦ: προσκυνήσεις ἐκ τοῦ τὸ πρῶτον γραφέντος προσκυνῆσεις Μ  11. Ἰωάσαφ μοναχὸν ἔγραψα: ἰωάσαφ α^χ Μ: Ἰωάσαφα ΤΦ  13. δὴ Μ: δὲ ΤΦ  καπετᾶνον ἔγραψα: καπετάνον ΜΤΦ  14. Λεονάρδο ἔγραψα: Λεονάρδω ΜΤΦ  τε ΜΤ: ντε Φ
Μουντάτο ἔγραψα: μουντάτω Μ: Μυντάτω Τ: Μυρτάτω Φ  15 συμπενθερείας ΤΦ: συμπενθερίας Μ  17-18. μηνὶ ἰουνίω Μ: μηνὸς Ἰουνίου ΤΦ  18. ε΄ ΜΦ: ϛ΄ Τ  Τὰ ἀπὸ τῶν λέξεων Τῷ αὐτῷ ͵ςωοα΄ κακῶς χωρίζουσι ΤΦ εἰς ἰδίαν παράγραφον, ἀπατηθέντες ὑπὸ τῆς πρὸ αὐτῶν ἐρυθρᾶς γραμμῆς ἐν τῷ κώδικι. Ἀλλ' εἶνε συνέχεια τῶν ἀνωτέρω. Διὸ οὐδεμία ἀνάγκη τῆς προτεινομένης ὑπὸ τοῦ Φ (σ. 31 ἐν σημ.*) προσθήκης τοῦ ῥήματος ἀπήλθαμεν, ὑπάρχοντος ἤδη τοῦ ἤλθαμεν, μεθ' οὗ συντακτέα τὰ κατωτέρω νὰ ἐσμιχθῶμεν.
18. γαμβρὸν ΤΦ: γαμπρὸν Μ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΣΗ ... Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὴ ἐσμιχθέντες διὰ τὸν ἐπεισπεσόντα τοῖς Τούρκοις αἰφνίδιον θάνατον, μεθ' ἡμέρας κζ' πάλιν ἐστράφημεν ἐν Τραπεζοῦντι.

34. Μηνὶ 'Οκτωβρίῳ κζ' ,ἡμέρᾳ ς', ἰνδικτιῶνος β', ἔτους ,ςωοβ', καθεζομένου τοῦ βασιλέως ἐν || τῷ ποταμῷ τοῦ 'Αγίου Γρηγορίου φ.302β
κατὰ τὸν Καταβατὸν, αἴφνης περιέπεσον αὐτῷ οἱ ἐκ τῶν ἀρχόντων Καβαζῖται, ὁ μέγας λογοθέτης κῦρ Γεώργιος ὁ Σχολάρις καὶ ἕτεροι, καὶ ἐδίωξαν αὐτὸν ἀπ' ἐκεῖ μέχρις αὐτοῦ τοῦ κουλᾶ. Καὶ οἱ μὲν Καβαζῖται διὰ ξηρᾶς φυγόντες συνελήφθησαν καὶ ἐκρατήθησαν ὁ δὲ μέγας λογοθέτης σὺν τοῖς περὶ αὐτὸν ἀπῆλθεν εἰς τὴν Κερασοῦντα, εἶτα εἰς τὴν 'Αμινσοῦν· ὅτε καὶ ὁ μητροπολίτης Τραπεζοῦντος Νιφων ὁ Πτερυγιωνίτης, κοινωνὸς ὢν τῆς βουλῆς, περιωρίσθη ἐν τῇ μονῇ τῆς Σουμελᾶς ἐν Τραπεζοῦντι. Τῇ δὲ κθ' τοῦ Δεκεβρίου μηνός, ἡμέρᾳ ς' πάλιν ἦλθεν ὁ μέγας λογοθέτης, μεσάζοντος εἰς τοῦτο τοῦ Ντζιανώτου Σπίνουλα καὶ Στεφάνου τοῦ Δακνοπίνη.

35. Τῷ αὐτῷ ἔτει, ἤτοι ,ςωοβ', ἰνδικτιῶνος β', μηνὶ Μαρτίῳ ιθ' ἐνήμερα τῇ μεγάλῃ Τρίτῃ ἐκοιμήθη ὁ μητροπολίτης Τραπεζοῦντος κῦρ Νίφων, νόσῳ προσπαλαίσας πλευρίτιδι, ἔτι ὢν ἐν τῇ Σουμελᾷ. καὶ ἐνεταφιάσ||θη ἀρχιερατικῶς εἰς τὴν Χρυσοκέφαλον, εἰς τὸν τά- φ 303α
φον τοῦ μητροπολίτου κῦρ Βαρνάβα. Καὶ ἐψηφίσθη ὁ σκευοφύλαξ 'Ιωσὴφ ὁ Λαζαρόπουλος, καὶ ἀπῆλθεν εἰς τὴν Πόλιν.

36. Μηνὶ Δεκεμβρίῳ ις', ἡμέρᾳ β' περὶ τὸν ὄρθρον, ἰνδικτιῶνος γ' τοῦ ,ςωογ' ἔτους ἐγεννήθη τῷ βασιλεῖ υἱὸς ὃς ἐκλήθη Μανουήλ.

1. αἰφνίδιον θάνατον ΤΦ: αἰφνίδιος^ν θάνατος^ν Μ 3. Μηνὶ ὀκτωβρίῳ Μ: Μηνὸς 'Οκτωβρίου ΤΦ 5. Καταβατὸν ἔγραψα: καταβατὸν ΜΤΦ 6. Καβαζῖται ἔγραψα: καβαζῖται ἐκ τοῦ τὸ πρῶτον γραφέντος καβαζῆται Μ: Καβασῖται ΤΦ γεώργιος Μ: Γρηγόριος ΤΦ 7. ἐδίωξαν ἔγραψα: ἐδείωξαν Μ: ἀπεδείωξαν ΤΦ κουλᾶ Μ: Κουλᾶ ΤΦ 8. καβαζῖται Μ: Καβασῖται ΤΦ ξηρᾶς ΤΦ: ξηρὰς Μ συνελήφθησαν Μ: ξυνελήφθησαν ΤΦ 10. τὴν 'Α. ἔγραψα: τὸν 'Α. ΜΤΦ τραπεζοῦντος Μ: λείπει ΤΦ Νίφων ΤΦ: νύφων Μ 11. Πτερυγιωνίτης ἔγραψα: πτερϋγϊωνι^τ Μ: Πτερυγιωνίτα ΤΦ 12. δεκεβρίου Μ: Δεκεμβρίου ΤΦ

14. σπίνουλα Μ: Σπίνουλ ΤΦ Δακνοπίνη ἔγραψα: δακνοπι^ν Μ: Δακυέπι Τ: δακυ...‡ Φ 16. ἐνήμερα ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐνημέρα Μ: ἐν ἡμέρᾳ ΤΦ 20. Πόλιν ἔγραψα: πόλιν ΜΤΦ 21. Δεκεβρίῳ ἔγραψα: (βραχ.) Μ: Δεκεμβρίῳ ΤΦ ἡμέρα (βραχ.) Μ: ʽσ Τ: σ' Φ β' ΜΤ: ε' Φ 22. ἐγεννήθη ΤΦ: ἐγενήθη Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

37. Μηνὶ Ἀπριλίῳ ιγ´, τῷ αὐτῷ ,ϛωογ´ ἔτει, τῇ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, ἱσταμένου τοῦ βασιλέως εἰς τὸ μαϊτάνιν, ἐγένετο ὄχλησις μέσον τοῦ κονσούλου καὶ τοῦ παΐλου, ὅτε ἦλθε καὶ ὁ μητροπολίτης κῦρ Ἰωσήφ, χειροτονημένος εἰς τὸν θρόνον Τραπεζουντίων· καὶ τῇ Τρίτῃ τῆς διακαινησίμου γέγονεν ἡ εἰσέλευσις αὐτοῦ.

38. Μηνὶ Ἰουλίῳ ιδ´, ἰνδικτιῶνος γ´, τοῦ ,ϛωογ´ ἔτους κατέβη ὁ
φ.303β τοῦ βασιλέως γαμβρὸς Χου||τλουπέκης ὁ ἀμηρᾶς μετὰ τῆς αὐτοῦ ὁμοζύγου κυρᾶς Μαρίας δεσποινάχατ τῆς μεγάλης Κομνηνῆς ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει Τραπεζοῦντα, καὶ ἡνώθη τῷ βασιλεῖ, καὶ εἰσῆλθεν εἰς τὸ παλάτιον. Καὶ σκηνώσας κατὰ τὸν Ἅγιον Ἰωάννην τὸν Ἁγιαστὴν ὡσεὶ ἡμέρας η´, πάλιν μετ᾽ εἰρήνης ἀπῆλθε, τιμηθεὶς μεγάλως.

39. Εἰς δὲ τὸ ἐπιὸν ἔτος ἀνῆλθεν ὁ βασιλεὺς εἰς τὸν Παρχάριν. Καὶ ἡμεῖς ἅπαντες, σὺν αὐτῷ ἀναβάντες ἐκ Σπέλιας εἰς τὴν Φιανόην καὶ παροδεύσαντες τὸ Γαντοπέδιν καὶ Μάρμαρα καὶ διαβάντες τὸν Ἅγιον Μερκούριον, ἀνήλθομεν εἰς τὸν Ἀχάντακα πεζοὶ καὶ καβαλ-
φ.304α λάριοι ὑπὲρ τοὺς δισχιλίους. Καὶ ποιήσαντες μετὰ τοῦ ἀμηρᾶ || ἡμέρας δ´, πάλιν ὑπεστρέψαμεν μηνὶ Ἰουνίῳ ἰνδικτιῶνος ε´ τοῦ ,ϛωοε´ ἔτους, καταβάντες ἐν τῇ Λαζικῇ μετὰ δυνάμεως διά τε ξηρᾶς καὶ διὰ θαλάσσης ἅμα βασιλεῖ καὶ τῇ τούτου μητρὶ τῇ δεσποίνῃ, κατέχοντες ἅμα καὶ τὴν τοῦ βασιλέως θυγατέραν κυρὰν Ἄννην τὴν μεγάλην Κομνηνήν, ἥτις συνεζεύχθη τῷ βασιλεῖ τῶν Ἰβήρων καὶ Ἀβασγῶν κῦρ Παγκρατίῳ τῷ Παγκρατιανῷ ἐν τῇ χώρᾳ Μακροῦ

2. μαϊτάνιν Μ: Μαϊτάνιν Φ: Μαιτάνιν Τ  3. κονσούλου Μ: Κονσούλου ΤΦ  παΐλου Μ: Παΐλου ΤΦ  ἦλθε Μ: ἦλθεν ΤΦ  5. διακαινησίμου Φ: διακαινϊσήμου Μ: διακαινισήμου Τ  7. Χουτλουπέκης ἔγραψα: χουτλου^πκ Μ: Χουτλουπὲκ ΤΦ  ἀμηρᾶς ἔγραψα: ἄμηράς Μ: Ἀμηράς ΤΦ  8. δεσποινάχατ Μ: Δεσποιναχάτ ΤΦ  9. πόλει ΤΦ: πόλϊ Μ  Τραπεζοῦντα ἔγραψα: τραπεζοῦν^τ Μ: Τραπεζοῦντι ΤΦ  11. Ἁγιαστὴν ΜΦ: ἁγιάστην Τ  14. σπέλιας Μ: Σπελίας ΤΦ  Φιανόην ΤΦ: φιάνόην Μ  15. Μάρμαρα ΜΤΦ. Πρβλ. Μαρμάρου σ. 287,25.  17. ἀμηρᾶ Μ. Ἀμηρᾶ ΤΦ  18. Τὰ Μηνὶ Ἰουνίῳ κτλ. ἐχωρίσθησαν μὲν ἀπὸ τοῦ ὑπεστρέψαμεν ἐν ΤΦ, καθ᾽ ἃ καὶ ἐν τῷ κώδικι, ἀλλ᾽ εἶνε συνέχεια τῶν προηγουμένων· διὸ ἥνωσα αὐτά.  21. θυγατέραν Μ: θυγατέρα ΤΦ  22. μεγάλην ΤΦ: μεγαλϊν Μ  23. Ἀβασγῶν ΤΦ: ἀβαζγῶν Μ  Παγκρατιανῷ ΜΦ: Παγκρατιᾷ Τ  Μακροῦ ἔγραψα: μακροῦ ΜΤΦ

Ε.Υ.Δ τη Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

αἰγιαλοῦ. Ἐλθόντες δέ, παρευθὺς ἀνῆλθεν ὁ βασιλεὺς εἰς τὸν Παρχάριν τῆς Λαραχανῆς εἰς τὸ Λιμνίον, καὶ ἀπῆλθεν ἕως Χαλδίας.

40. Μηνὶ Νοεμβρίῳ ιβ´, ἰνδικτιῶνος ς´, ἔτους ,ςωος´ ἐξῆλθεν ὁ μητροπολίτης || κῦρ Ἰωσὴφ ἐκ τοῦ θρόνου τῆς Τραπεζοῦντος, καὶ φ.304β εἰςῆλθεν ἐν τῇ μονῇ τῆς Ἐλεούσης. Καὶ περὶ τὰς ιθ´ τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ,ςωος´ ἔτους ἀπῆλθεν εἰς τὴν Κωνσταντινούπολιν διὰ τὸ κοῦρσον ὃ ἐποίησαν τὰ ἀζάπικα παρασκάλμια τοὺς Ἀρανιώτας. Ὅτε καὶ ὁ πεφιλημένος μου υἱὸς Κωνσταντῖνος, φεῦ, φεῦ μοι τῷ ἀθλίῳ καὶ ἁμαρτωλῷ, ἐν τῇ θαλάσσῃ πεσὼν τῇ ἑορτῇ τῆς Μεταμορφώσεως κατὰ τὴν μονὴν τῆς Ἁγίας Σοφίας, τέθνηκεν, ἐτῶν ὢν ιε´· μεθ' ὃν καὶ ὁ ἕτερός μου ποθεινότατος υἱὸς Ῥωμανός, ἐτῶν ὢν ιζ´, δυςουρικῷ προςπαλαίσας νοσήματι, κεκοίμηται. Λείποντος μου μῆνας γ´ ἥμισυν ὑπέστρεψα.

41. Τῷ αὐτῷ ,ςωογ´ ἔτει || μηνὶ Μαρτίῳ εἰςελθὼν ὁ Γλιτζιασθλάνης φ.305α ἐπολιόρκει τὴν καθ' ἡμᾶς Χαλδίαν· ὅτε καὶ ἐκστρατεύσας ὁ βασιλεὺς ἀνέβη ἐκεῖ.

Μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνος ζ´, ἔτους ,ςωοζ´ κατὰ τὴν ἡμέραν τῶν Φώτων ἐπιάσθη ἡ Γόλαχα παρὰ τῶν Τούρκων κλοπικῶς· δι' ἣν αἰτίαν ἠφανίσθη ἡ Χαλδία, οἱ μὲν ἐν τοῖς πολέμοις, οἱ δὲ ἐν τῷ ἐκεῖσε δολίῳ σπηλαίῳ.

42. Τῷ αὐτῷ ,ςωοζ´ ἔτει περὶ τὴν ἔκβασιν τοῦ Ἰανουαρίου ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὰ Λιμνία μετὰ στόλου καλοῦ, καὶ λείψας τετραμηνιαῖον ὑπέστρεψεν.

43. Μηνὶ Μαΐῳ, ἰνδικτιῶνος η´, ἔτους ,ςωοη´ ἐξῆλθεν ὁ βασιλεὺς μετά τινων ὀλιγοστῶν στρατιωτῶν εἰς τὸν Παρχάριν περὶ τὰ μέρη τοῦ Μαρμάρου. Καὶ κατὰ τὴν κα´ τοῦ αὐτοῦ μηνός, ἡμέρᾳ ς´ ἐξαίφνης συνήντησαν Τούρ||κους, ὡςεὶ καβαλλαρίους πεντακοσίους καὶ φ.305β

1. αἰγιαλοῦ Μ: Αἰγιαλοῦ ΤΦ 2. Λαραχανῆς ΜΤΦ. Ἴδε ἀνωτέρω σ 282,21. λιμνίον Μ: Λιμνικὸν Τ: λιμν Φ ἀπῆλθεν ΜΦ: ἀπῆλθον Τ 7. ἀζάπικα ΜΦ: ἀζάρικα Τ 12. προςπαλαίσας ΜΤ: προσπαλαίσας Φ 13. ἥμισυν ἔγραψα: ϛ´ ΜΤ: ς'' Φ 14. ,ςωογ´ Μ: λείπει ΤΦ Γλιτζιασθλάνης ΜΤΦ. Ἀλλ' ἴδε κατωτέρω σ. 290,8 Χλιατζιασθλάνης. 16. ἐκεῖ. Μηνὶ Φ: ἐκεῖ μηνὶ ΜΤ Ἰανουαρίῳ ΤΦ: ἰαννουαρίω Μ 19. ἐκεῖσε δολίῳ ἔγραψα: ἐκεῖσε δολειω ΜΤ: ἐκεῖ σεδολείῳ (ἐν τῇ μεταφράσει in der *Sedolischen* Höhle) Φ 20. ,ςωοζ´ ἔτει Μ: ἔτει ,ςωοζ ΤΦ Ἰανουαρίου ΤΦ: ἰαννουαρίου Μ 24. ὀλιγοστῶν ΜΦ: ὀλιγίστων Τ 25. Μαρμάρου ΜΦ: Μαρμάρων Τ Πρβλ. Μάρμαρα σ. 286, 15. ἡμέρα (βραχ.) Μ: 'σ ΤΦ 26. καβαλλαρίους ΤΦ: καβαλαρίους Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πεζοὺς τριακοσίους. Ἦσαν δὲ περὶ τὸν βασιλέαν ὡσεὶ ἑκατὸν καβαλλάριοι· ὅτε καὶ κροτήσας πόλεμον νικᾷ κατὰ κράτος ὁ βασιλεύς, καὶ διώκει αὐτούς, στείλας καὶ κεφαλὰς ἀγαρηνικὰς ἐνταῦθα καὶ τὴν τούτων σημαίαν.

44. Μηνὶ Αὐγούστῳ ιγ', ἡμέρᾳ γ', ἰνδικτιῶνος η', τῷ ,ςωοη' ἔτει εἰςῆλθεν ὁ μητροπολίτης κῦρ Θεοδόσιος εἰς τὴν Τραπεζοῦντα, καὶ ἐνεθρονιάσθη· ὃς ὥρμητο μὲν ἐκ Θεσσαλονίκης, μονάζει δὲ ἐν τῷ Ἁγίῳ ὄρει χρόνους κ'. Καταλαμβάνει δὲ τὴν εὐδαίμονα Κωνσταντινούπολιν, γενόμενος ἡγούμενος ἐν τῇ μονῇ τῶν Μαγγάνων· εἶτα ψήφῳ συνοδικῇ χειροτονεῖται καὶ στέλλεται. Μηνὶ Αὐγούστῳ ς' ἀπήλθαμεν
φ.306α ἐν τῇ Λαζικῇ καὶ πρὸς τὸ ἔκβαν τοῦ ‖ μηνός, περὶ τὰ εἰςιτήρια τοῦ ,ςωπα' ἔτους ἐσμίγαμεν τὸν βασιλέα τὸν Παγκράτιν. Εἶτα ἀπήλθαμεν εἰς τὸ Βαθὺν, στήσαντες τὰς τέντας ἔξω, ἔχοντες καὶ κάτεργα β' καὶ ξυλάρια ὡσεὶ μ'. Ἐκεῖ γοῦν ὁμιλήσαντες καὶ τῷ Γουρέλῃ, ἐλθόντι εἰς προσκύνησιν τοῦ βασιλέως, καὶ ἓξ ἡμέρας ποιήσαντες, πάλιν ἐστράφημεν ἰνδικτιῶνος ια'.

45. Μηνὶ Ἰανουαρίῳ ιγ', ἀπελθόντος τοῦ βασιλέως κατὰ τῆς Χεριάνης καὶ χιόνος πολλῆς γενομένης καὶ χειμῶνος πολλοῦ ἐπειςπεσόντος, γέγονε τροπή, καὶ ἐφθάρησαν Χριστιανοὶ ρμ', οἱ μὲν ἔργον σπάθης γενόμενοι, οἱ δέ, καὶ μᾶλλον οἱ πλείονες, ὑπὸ τοῦ κρύους ἀπέθανον ἰνδικτιῶνος ια', ἔτους ,ςωπα'.

φ.306β 46. Μηνὶ Νοεμβρίῳ ια', ἡμέρᾳ ς' τοῦ ,ςωπβ' ἔτους, ‖ ἰνδικτιῶνος ιβης ἦλθεν ὁ τοῦ βασιλέως τῶν Ῥωμαίων κῦρ Ἰωάννου τοῦ Παλαιολόγου υἱός, ὁ κῦρ Μιχαήλ, μετὰ δύο μεγάλων κατέργων καὶ ἑνὸς μικροτέρου κατὰ τοῦ βασιλέως ἡμῶν. Καὶ σταθεὶς ἡμέρας ε' παλίνορ-

1. βασιλέαν Μ: βασιλέα ΤΦ 1-2. καβαλλάριοι ΤΦ: καβαλάριοι Μ 3. στείλας ΜΦ: στολὰς Τ 7. ἐνεθρονιάσθη Μ: ἐνεθρονισάσθη ΤΦ Θεσσαλονίκης ΤΦ: θεσαλονίκης Μ 9. Μαγγάνων ἔγραψα: Μαγκάνων ΜΤΦ 10. στέλλεται. Μηνὶ ΜΦ: στέλλεται μηνὶ Τ ἀπήλθαμεν ΤΦ: ἀπῆλθαμεν Μ 11. ἔκβαν Μ (πρβλ. τὸ νεοελληνικὸν τὸ ἔβγα): ἐκβὰν ΤΦ 12-13. ἀπήλθαμεν ΤΦ: ἀπηλθαμεν Μ 13. Βαθὺν ἔγραψα: Βαθὴν ΜΤΦ β' Μ: θ' Φ: λείπει Τ 14. ξυλάρια ΜΦ: ξυλαρα Τ ὡσεὶ Μ: λείπει ΤΦ γουρέλη Μ: Γουρήλη ΤΦ 17. Ἰανουαρίῳ ΤΦ: ἰαννουαρίου Μ 18-19. Ἐπειςπεσόντος ΤΦ: ἐπισπεσόντος Μ 19. ἐφθάρησαν ΤΦ: ἐφθάρϊσαν Μ 22. ἡμέρα (βραχ.)Μ: 'σ ΤΦ 23. ιβης (βραχ.) Μ: ιβ' ΤΦ βασιλέως ΤΦ: βασιλέως ἐκ τοῦ τὸ πρῶτον γραφέντος βασιλεῶς Μ 25. κατὰ Μ: κατὰ τὰ ΤΦ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σος γέγονε, μὴ ἀνύσας τι τῶν ἀδοκήτων, ὧν σὺν αὐτῷ ὁ πρωτοβεστιάριος κῦρ Ἰωάννης ὁ Ἀνδρονικόπουλος· ὅς καί, ἀπελθὼν ὁ Παλαιολόγος, αὐτὸς ἐξῆλθε καὶ γέγονεν ὑπόσπονδος τῷ βασιλεῖ ἡμῶν.

47. Μηνὶ Ἀπριλίῳ ις', ἡμέρα α', ἰνδικτιῶνος ιβ', τῷ ,ϛωπβ' ἔτει ἐπιάσθη ἡ Γόλαχα παρὰ τῶν Χαλδαίων, καὶ πάλιν γέγονεν ὑπὸ τῷ βασιλεῖ, καὶ εὐθὺς αὖθις ἑάλω παρὰ τῶν ἐχθρῶν.

48. Μηνὶ Μαρτίῳ ιδ', ἡμέρᾳ ϛ', ἰνδικτιῶνος ιδ' τοῦ ,ϛωπδ' ἔτους ἐκρημνίσθη ὁ τοῦ βασιλέως υἱὸς κῦρ Ἀνδρόνικος δεσπότης ὁ μέγας Κομνηνὸς ἀπὸ τοῦ || παλατίου τοῦ κῦρ Ἀνδρονίκου τοῦ μεγάλου Κο- φ.307α
μνηνοῦ καὶ βασιλέως. Καὶ εὐθὺς κομισθεὶς ἐν τοῖς ἀνακτόροις τέθνηκε καὶ ἐνεταφιάσθη ἐν τῇ μονῇ τῆς Θεοσκεπάστου, ἀκολουθήσαντος ἐν τῷ ἐξοδίῳ αὐτοῦ τοῦ βασιλέως καὶ πατρὸς αὐτοῦ καὶ τῶν δεσποινῶν, τῆς τε μάμμης τούτου καὶ τῆς μητρυιᾶς. Τὰ δὲ συναλλάγματα, ἃ εἶχε μετὰ τῆς ἐξ Ἰβηρίας, θυγατρὸς μὲν Δαβὶδ τοῦ βασιλέως Τυφλισίου, ἀνεψιᾶς δὲ ἐπ' ἀδελφῇ τοῦ Ἀχπουγᾶ, μεταφέρονται εἰς τὸν νεώτερον καὶ γνήσιον καὶ νόμιμον υἱὸν τοῦ βασιλέως ἡμῶν καὶ νέον βασιλέα κῦρ Μανουὴλ τὸν μέγαν Κομνηνόν. Καὶ δή, τῆς μνηστείας προβάσης, κινεῖ ὁ βασιλεὺς καὶ ἡμεῖς σὺν αὐτῷ Μαΐῳ μηνὶ ι', ἰνδικτιῶνος ιε', ἔτους ,ϛωπε'. Καὶ ἀπελθόντες ἐν τῇ Λαζικῇ, διεβιβάσαμεν
τὸ || καλοκαίριν ὅλον ἐκεῖ κατὰ τὸ χωρίον Μακραιγιαλοὺς ἕως εἰς τὰς φ.307β
ιε' Αὐγούστου μηνός. Τότε δὲ κατέβη κἀκείνη ἀπὸ Γωνίας εἰς τὴν Μακραιγιαλοῦν, καὶ τῇ ἐπαύριον κεκινήκαμεν, καὶ εἰς τὰς λ' τοῦ Αὐγούστου ἐφθάσαμεν ἐν Τραπεζοῦντι ἡμέρᾳ Κυριακῇ. Περὶ δὲ τὰς ε' τοῦ νέου ἔτους, Σεπτεβρίῳ μηνί, ἡμέρᾳ Σαββάτῳ, ἰνδικτιῶνος α' τοῦ ,ϛωπϛ' ἔτους ἐστέφθη ἐν τῇ βασιλικῇ προκύψει καὶ ἐκλήθη Εὐδοκία· Κουλκάνχατ γὰρ πρότερον ὠνομάζετο. Καὶ τῇ ἐπαύριον ἡμέρᾳ

1. τι Μ: λείπει ΤΦ  1-2. πρωτοβεστιάριος ἔγραψα: $α^{τ}$ βεστιάριος Μ: βεστιάριος ΤΦ  3. καὶ ΤΦ: καὶ Μ  4. ἡμέρα (βραχ.) Μ: 'σ ΤΦ  ιβ' Μ: ιγ Τ: ιε' Φ  ,ϛωπβ' ΜΤ: ,ϛωπε' Φ  8. ἐκρημνίσθη ΤΦ: ἐκρϊμνήσθη Μ  12. δεσποινῶν ΤΦ: δεσποίνων Μ  13. συναλλάγματα ΤΦ: συναλάγματα Μ  15. ἀδελφῇ ἔγραψα: ἀδελφὴ Μ: ἀδελφῆς ΤΦ  17. μνηστείας Μ μνηστίας ΤΦ  19. διεβιβάσαμεν ΤΦ: διεβηβάσαμεν Μ  20. καλοκαίριν ἔγραψα: καλοκέριν Φ: Καλοκέριν Τ

τὰς ἔγραψα: $τ^{α}$ Μ: τὰ ΤΦ  24. Σεπτεβρίῳ ἔγραψα: σεπτευρίω Μ: Σεπτεμβρίῳ ΤΦ  Σαββάτῳ ἔγραψα: σαββάτω Μ: σαβάτῳ ΤΦ  26. πρότερον Μ: τὸ πρότερον Τ: τὸ πρώτερον Φ



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΙΔΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Κυριακῇ Σεπτεβρίου ς´ ἐγένετο καὶ ὁ γάμος, καὶ ἐπεκράτησεν ἑβδομάδαν καὶ πλέον. Ἦν δὲ ὁ εὐλογήσας αὐτοὺς ὁ Τραπεζοῦντος Θεοδόσιος, στεφανοκράτωρ δὲ ὁ πατὴρ ἦν καὶ βασιλεύς.

φ.308α 49. Μετὰ πολλῶν λόγων καὶ πρέσβεων, || ρωμαϊκῶν, λέγω, καὶ μουσουλμανικῶν, μέσον δὴ τοῦ βασιλέως καὶ τοῦ Τατζιατίνη τζιαλαπῆ ἐκίνησεν ὁ βασιλεὺς κατὰ τὴν ιδ´ τοῦ Αὐγούστου μηνός, ἰνδικτιῶνος β´, καὶ ἡ θυγάτηρ κυρὰ Εὐδοκία. Καὶ ἀπήλθομεν μέχρι Κερασοῦντος. Μανδᾶτον δὲ ἦλθεν ἐκ Τραπεζοῦντος, ὅτι ὁ Χλιατζιασθλάνης μέλλει καταβεῖν εἰς τὴν Τραπεζοῦνταν. Ὁ δὲ βασιλεύς, ἀφεὶς τὴν θυγατέραν ἐν Κερασοῦντι, ἦλθε σὺν τοῖς ἄρχουσιν ἐν Τραπεζοῦντι, καὶ ἐνδυνάμωσε τὸ κάστρον, καὶ διετάξατο τὴν χώραν. Περὶ δὲ τὰ τελευταῖα τοῦ Σεπτεμβρίου ἐκίνησε, καί, λαβὼν τὴν θυγατέραν ἐν Κερασοῦντι, ἀπῆλθε μέχρις Οἰναίου, κἀκεῖ εἰσμιχθεὶς τῷ τζιαλαπῆ, συν-
φ.308β έζευξεν αὐτῷ τὴν θυγατέραν || αὐτοῦ, τὴν κυρὰν Εὐδοκίαν, κατὰ τὴν η´ τοῦ Ὀκτωμβρίου, ἰνδικτιῶνος γ´, ἔτους ,ςωπη´, ὅτε παρέλαβεν ὁ βασιλεὺς καὶ τὰ Λιμνία.

50. Μηνὶ Φεβρουαρίῳ ἐκίνησεν ὁ βασιλεὺς διά τε ξηρᾶς καὶ διὰ θαλάσσης κατὰ τῶν Τζιαπνίδων. Καὶ περὶ τὰς δ´ τοῦ Μαρτίου μηνὸς ἡμέρᾳ α´, ἰνδικτιῶνος γ´, ἔτους ,ςωπη´ ἐποίησεν τὸ φωσσᾶτον μερίδας β´. Τοὺς μὲν πεζοὺς ὡσεὶ χ´ ἔστειλεν ἀπὸ τὸ Πέτρωμαν· ὁ δὲ βασιλεύς, παραλαβὼν τὸ καβαλλαρικὸν καὶ ἑτέρους πεζοὺς παμπόλλους, ἐπτέρνιξέν τους ὅλον τὸν Φιλαβωνίτην ποταμὸν ἄνω ἕως εἰς τὰς χειμαδίας, καὶ τὰς σκηνὰς αὐτῶν ἐκούρσευσεν, ἐσκότωσεν, ἔκαυσεν καὶ

1. Σεπτεβρίου ἔγραψα: σεπτευρίου Μ: Σεπτεμβρίου ΤΦ  καὶ ἐπ. ΜΤ: ἐπ. Φ  2. αὐτοὺς Μ: αὐτὴν ΤΦ  Τραπεζοῦντος ΜΤ: Τραπεζούντιος Τ  3. ἦν ΤΦ: ἣν Μ  4. δὴ Μ: δὲ Τ  4-5. τατζιατίνη τζιαλαπῆ (Τζιαλαπῆ ΤΦ) ΜΤΦ. Ἴδε σ. 284,2 τζαλαπῆ καὶ σ. 284,2. 292,3 Τατζατίνη  8. μανδᾶτον ἔγραψα: μανδάτον ΜΤΦ  8-9. Χλιατζιασθλάνης ΜΤΦ. Ἀλλ' ἴδε ἀνωτέρω σ. 287, 14 Γλιτζιασθλάνης Τ  9. μέλλει ΤΦ: μέλει Μ  καταβεῖν Μ: κατάβειν Φ: καταβ[αίν]ειν Τ  Τραπεζοῦνταν Μ: Τραπεζοῦντα ΤΦ  8 (καὶ 16). βασιλεὺς ΤΦ: βασιλεῦς Μ  12. σεπτεβρίου Μ: Σεπτεμβρίου ΤΦ  13. Οἰναίου ΤΜΦ. Ἴδε καὶ σ. 273, 25. 275, 11.  15. ὀκτωμβρίου Μ: Ὀκτωβρίου ΤΦ  ,ςωπη´ ΜΦ: ,ςωππ´ Τ  17. Φεβρουαρίῳ ΤΦ: Φεβρουαρίου Μ  17-18 διὰ θαλάσσης ΤΦ: διαθαλάσσης Μ  18. Τζιαπνίδων ἔγραψα: Τζαπνίδων ΜΤΦ: Ἴδε σ. 275,21.  19. ἡμέρᾳ ΤΦ: ἡμέρα (βραχ.) Μ  21. καβαλλαρικὸν ἔγραψα: καβαλαρικὸν Μ: καβαλλάρικον ΤΦ  22. ἐπτέρνιξέν τους ΜΦ: ἐπτέρνιξεν τοὺς Τ  ποταμὸν ΤΦ: ποταμῶν Μ  τὰς ΤΦ: τ<sup>α</sup> Μ  22-23. χειμαδίας Μ: χειμασίας ΤΦ  23. σκηνὰς ΤΦ: σκηνᾶς Μ  ἐσκότωσεν ΜΦ: ἐσκόθωσεν Τ

ΙΩΑΝΝΙΝΑ 2006

ἐλήισεν αὐτούς. Καὶ πολλὰ ἡμέτερα αἰχμάλωτα ἠ||λευθέρωσεν σιμυ- φ.309α λικὰ (;), καὶ ἐστράφη, καὶ ἐστάθη μικρὸν εἰς τὸν Σθλαβοπιάστην. Οἱ δὲ χ΄ οἱ ἀπελθόντες ἀπὸ τὸ Πέτρωμαν ἐκούρσευσαν εἰς τὸ Κοτζαυτᾶ, καὶ ἐποίησαν σφαγὴν καὶ κοῦρσον καὶ πυρκαϊὰν πολλήν. Καταβαίνοντες δὲ μετὰ πολέμου, ὁσάκις ἐποίουν καὶ συμπλοκὴν μετὰ τῶν διωκόντων Τούρκων, πολλοὶ ἔπιπτον ἐκ τῶν Τούρκων. Οἱ δὲ Ῥωμαῖοι, ἐλπίζοντες [εὑρεῖν] τὸν βασιλέα, εἰς τὸν αἰγιαλὸν ἰσχυρὰ πολεμοῦντες καὶ κτείνοντες ἤρχοντο. Περὶ δὲ τὸν αἰγιαλὸν τοῦ Σθλαβοπιάστου γενόμενοι, ὡς οὐχ εὗρον τὸν βασιλέα, ὡς ἐσυνεφώνησαν, μικρὸν πρὸς τροπὴν βλέψαντες, ἔπεσον ὡσεὶ μβ΄ Ῥωμαῖοι. Οἱ δὲ πεσόντες Τοῦρκοι καὶ Τούρκισσαι καὶ Τουρκόπουλα || ὑπὲρ τοὺς ρ΄ ἠρι- φ.309β θμήθησαν.

Μηνὶ Ἰουνίῳ ιθ΄, ἰνδικτιῶνος ε΄, ἔτους ,ςωϛ΄ ὁ τοῦ βασιλέως κῦρ Ἀλεξίου υἱός, ὁ κῦρ Μανουὴλ ἐγέννησεν υἱὸν ἐκ τῆς ἐξ Ἰβήρων κυρᾶς Εὐδοκίας, ὃν καὶ βαπτίσας ὁ πάππος καὶ βασιλεὺς κ ο Ἀλέξιος καὶ ἡ προμάμμη καὶ δέσποινα κυρὰ Εἰρήνη καὶ ὁ μητροπ λίτης Τραπεζοῦντος κῦρ Θεοδόσιος ἐκάλεσαν τοῦτον Βασίλειον κατὰ τὸν πρόπαππον.

51. Μηνὶ Ἰουλίῳ θ΄ ἤρχθη ἡ νόσος τῶν βουβώνων, ἔτους ,ςωϛ΄, ἰνδικτιῶνος ε΄, καὶ ἐλυμήνατο ἐν Τραπεζοῦντι πολλοὺς μέχρι καὶ τοῦ Δεκεβρίου καὶ τοῦ Γεναρίου μηνός. Ἐλυμήνατο δὲ καὶ τὴν Ματζούκαν περὶ πολλοῦ καὶ τὴν Τρικωμίαν καὶ τὸ μέρος τῶν Συρμένων ἕως εἰς τὴν Δρύωναν.

1. πολλὰ ΤΦ: πολλᾶ Μ σιμΰλϊκὰ Μ: σιμύλικα Τ: σΐμΰλϊκα Φ 3. ἀπὸ τὸ Μ: ἀπὸ ΤΦ 4. Κοτζαυτᾶ Μ: Κοτζαντᾶ ΤΦ 4. κοῦρσον Φ: κοῦρσαν ΜΤ 5. πολέμου Μ: πόλεμον ΤΦ 7. εὑρεῖν προσέθηκα: λείπει ΜΤΦ 11. Τούρκισσαι ἔγραψα: τούρκϊσε Μ: Τύρκισαι ΤΦ Τουρκόπουλα ἔγραψα: τουρκό^πλ Μ: τουρκοπούλοι Τ: Τουρκοποῦλοι Φ 13. Ἰουνίῳ ΤΦ: ἰουνίου Μ 14. Μανουὴλ ΤΦ: μ....ὴλ τῶν λοιπῶν γραμμάτων διεξεσμένων τῷ γλυφάνῳ Μ ἐξ Ἰβήρων ΤΦ: ἐξΐβήρων Μ 17. Θεοδόσιος ΤΦ: Θεοδώσιος Μ 19. ἤρχθη ἔγραψα: ηῖχθη(;) Μ: ἤιχθη Φ: ἢχθη Τ ,ςωϛ ΜΦ: ,ςωρ Τ 20. πολλοὺς ΤΦ: πολοὺς Μ 20-21. Δεκεβρίου ἔγραψα: δεκευρίου Μ: Δεκεμβρίου ΤΦ 21. Ματζούκαν Φ: ματζοῦκαν Μ: ματζούκην Τ 22. περὶ πολλοῦ ΤΦ: περῒπολλοῦ Μ Τρικωμίαν ἔγραψα: Τρικομίαν ΜΤΦ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φ.310α 52. || Μηνὶ 'Οκτωβρίῳ κδ', ἡμέρᾳ ι', ἰνδικτιῶνος ι' τοῦ ,ϛωϟε' ἔτους κινήσας ὁ τοῦ βασιλέως γαμβρὸς ὁ ἐκ τῶν Λιμνίων ἀμηρᾶς ὁ Τατζιατίνης κατὰ τοῦ ἑτέρου γαμβροῦ τοῦ βασιλέως, υἱοῦ τοῦ ἐκ Χαλυβίας Χατζυμύρη, τοῦ λεγομένου Σουλαμάμπεκ, ἔχων φωσσᾶτον χιλιάδας ιβ', καὶ τῇ Χαλυβίῃ εἰςελθὼν, ἔπεσε πρῶτος αὐτὸς ὁ Τατζιατίνης, καὶ κρεουργηθεὶς ἐκεῖ τέθνηκεν. Οἱ δὲ περὶ αὐτὸν ἐκτάνθησαν ὡς ,ιγ', οἱ δὲ λοιποὶ γυμνοὶ ἔφυγον, ἀποβαλόμενοι ἵππους ,ζ' καὶ ὅπλα ἄπειρα.

53. 'Αμηρᾶς τις Τάταρις, ἔχων καὶ χάνην, ὡς λέγουσιν, ὁ δὲ Τάταρις Ταμουρλάγκης ὢν τὸ ὄνομα, ἐκ τῶν ὁρίων ἐξελθὼν Χαταΐας,
φ.310β ἔχων, ὥς φασιν οἱ εἰδότες, φωσσᾶτον || ὑπὲρ τὰς ὀκτακοσίας χιλιάδας, ἦλθε καὶ παρέλαβε τὴν πᾶσαν Περσίαν. Εἶτα, εἰςελθὼν καὶ ἐν τοῖς ἀκρωρείοις 'Ιβήρων, παρέλυσε πολέμου νόμῳ τὸ θαυμάσιον Τυφλίσιον, ζωγρήσας καὶ τὸν βασιλέα Παγκράτιν τὸν στρατηγικώτατον καὶ τὴν ὁμόζυγον αὐτοῦ, τὴν θυγατέραν τοῦ ἡμετέρου βασιλέως, τὴν ὡραιοτάτην κυρὰν ῎Ανvην, καὶ τὸν υἱὸν αὐτῆς Δαβίδ, τὸν δὲ λαὸν ἔθυσε μαχαίρᾳ καὶ ἀπώλεσεν. 'Οπόσα δὲ πράγματα εἷλε καὶ ὅσας εἰκόνας ἔγδειρε καὶ κατέκαυσε, καὶ λίθους τιμίους καὶ μαργαριτάρια καὶ χρυσὸν καὶ ἄργυρον ἀπεφέρετο οὐ δύναταί τις γραφῇ παραδοῦναι, μηνὶ Νοεμβρίῳ κα' ἔτους ,ϛωϟε'.

φ.311α 54. 'Εκοιμήθη ὁ βασιλεὺς κῦρ 'Αλέξιος || ὁ μέγας Κομνηνός, ὁ υἱὸς τοῦ κῦρ Βασιλείου τοῦ μεγάλου Κομνηνοῦ ὁ δεύτερος, μηνὶ Μαρτίῳ

1. κδ' - ι' Μ: λείπουσι ΤΦ ,ϛωϟε' ΜΦ: ,ϛωρε' Τ 2. ἀμηρᾶς Μ: 'Αμηρᾶς ΤΦ 3. ἑτέρου ΤΦ: ἐτέρου Μ 4. Χατζυμύρη ἔγραψα: χατζυμήρη ΜΤΦ Σουλαμάμπεκ ΜΤ: Σουλαμανπὲκ Φ 5-6. Τατζιατίνης ἔγραψα: Τζιατίνης ΜΤΦ. ῎Ιδε σ. 284, 2 καὶ 290,5. 6. περὶ αὐτὸν ΤΦ: περίαυτὸν Μ 7. ,γ' Μ: ϛ Τ; ,ϛ Φ γυμνοὶ ΤΦ: γυμνὴ Μ ἀποβαλόμενοι ἔγραψα: ἀποβαλλόμενοι ΜΤΦ ,ζ' Μ: λείπει ΤΦ 9. τις ΤΦ: τίς Μ 9. χάνην Μ: Χάνην Τ; χαύην Φ 10. ταμουρλάγκης Μ: Ταμουρλάνης ΤΦ χαταΐας Μ; Χαταίας ΤΦ 11. ὥς φασιν ΤΦ: ὡς φασὶν Μ 13. ἀκρωρείοις ἔγραψα: ἀκρορίοις Μ; ἀκρωρίοις ΤΦ παρέλυσε ΜΤ: παρέλασε Φ τὸ θαυμάσιον Τυφλίσιον ἔγραψα: τὸ θαυμασίω τυφλισίω Μ: τῷ θαυμασίῳ Τυφλισίῳ ΤΦ 14. στρατηγικώτατον ΤΦ: στρατηγηκώτατον Μ 15. θυγατέραν Μ: θυγατέρα ΤΦ 17. μαχαίρᾳ ΤΦ: μαχέρα Μ 18. ἔγδειρε Μ: ἔγδορε Τ: ἔγδαρε Φ 19. δύναταί τις Φ: δύναταί της Μ: δύναται τῇ Τ 20. ,ϛωϟε' ΜΦ: ,ϛωρε' Τ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κ΄, ἡμέρᾳ Κυριακῇ τῆς ε΄ ἑβδομάδος, ὥρᾳ δευτέρᾳ τῆς ἡμέρας. Ἐβασίλευσε δὲ ἔτη μ΄ καὶ μῆνας γ΄, ἐτῶν ὢν να΄, ἔτους ,ϛωλη΄.

Μηνὶ Μαρτίῳ ε΄ τοῦ ,ϛϡκ΄ ἔτους ἐκοιμήθη ὁ βασιλεὺς κῦρ Μανουὴλ ὁ μέγας Κομνηνός, καὶ ἐτάφη εἰς τὴν Θεοσκέπαστον. Ἐβασίλευσε δὲ ἔτη κβ΄.

Μηνὶ Μαΐῳ β΄, ἔτους ,ϛϡγ΄ ἐκοιμήθη ἡ δέσποινα κυρὰ Εὐδοκία ἡ οὖσα ἐξ Ἰβήρων, μήτηρ δὲ τοῦ βασιλέως κυροῦ Ἀλεξίου.

55. Μηνὶ Σεπτεβρίῳ, ἰνδικτιῶνος δ΄, ἔτους ,ϛϡδ΄ εἰς τὰς ιδ΄, ἡμέρᾳ Σαββάτῳ ἦλθεν ἀπὸ Κωνσταντινουπόλεως εἰς τὸν Ἅγιον Φωκᾶν ἡ δέσποινα κυρὰ Εὐδοκία ἡ μεγά||λη Κομνηνὴ μετὰ κατέργου καὶ ἑνὸς φ.311
γριπαρίας. Εἶχε δὲ καὶ νύμφας εἰς μὲν τὸν αὐτάδελφον αὐτῆς, τὸν βασιλέα κῦρ Μανουήλ, χῆρον ὄντα, τὴν θυγατέρα τοῦ Φιλανθρωπηνοῦ κυρὰν Ἄννην, εἰς δὲ τὸν ἀνεψιὸν αὐτῆς, τὸν βασιλέα κῦρ Ἀλέξιον, τὴν θυγατέραν τοῦ Καντακουζηνοῦ κυρὰν Θεοδώραν. Καὶ τῇ ἐπαύριον Κυριακῇ, βροχῆς οὔσης, εἰσῆλθον εἰς Τραπεζοῦντα. Γέγονε δὲ καὶ πρέσβυς εἰς ταῦτα ὁ μέγας δοὺξ ὁ ἀμυριάλης ὁ Σχολάρις.

56. Τῷ δὲ ,ϛ(ω)ϡλε΄ ἔτει, τῆς ε΄ ἰνδικτιῶνος, τῇ ιβ΄ τοῦ Νοεμβρίου, ἡμέρᾳ β΄, ὥρᾳ γ΄ τῆς νυκτὸς ἐκοιμήθη καὶ ἡ δέσποινα, ἡ κυρὰ Θεοδώρα Καντακουζηνὴ ἡ μεγάλη Κομνηνή, ἡ ὁμόζυγος τοῦ αὐτοῦ βασιλέως κῦρ Ἀλεξίου, καὶ ἐτάφη || ἐν τῷ πανσέπτῳ ναῷ τῆς ὑπερα- φ.312α
γίας Θεοτόκου τῆς Χρυσοκεφάλου, ἐν τῷ κοιμητηρίῳ τοῦ Γίδωνος, εἰς τὸ παράβημα. . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . .

2 (καὶ 5). ἔτη ἔγραψα: ἔτους ΜΤΦ   μῆνας ΤΦ: μήνας Μ   ,ϛωλη΄. Μηνὶ Φ: ,ϛωλη΄ (,ϛωϛη΄ Τ). μηνὶ ΜΤ   3. βασιλεὺς ΤΦ: βασιλεῦς Μ   5. κβ΄ ἔγραψα: κζ΄ ΜΤΦ   7. κυροῦ Μ: κῦρ ΤΦ   8. Σεπτεβρίῳ ἔγραψα: σεπτευρίου Μ: Σεπτεμβρίῳ ΤΦ   τὰς ἔγραψα: τα Μ: τὰ ΤΦ   10. ἑνὸς ΜΤΦ. Γραπτέον μιᾶς   11. γρϊπαρίας Μ: γρυπαρίας ΤΦ   12. Φιλανθρωπηνοῦ ἔγραψα: φιλανθρωπϊνοῦ Μ: Φιλανθρωπινοῦ ΤΦ   14. τὴν Μ: λείπει ΤΦ   κυρὰν ΜΦ: κῦρ Τ   16. πρέσβυς ΤΦ: πρέσβϊς Μ   ταῦτα ΤΦ: ταυτα Μ   δοὺξ ὁ ἀμυρϊάλης (ἀμυριάλης Φ) ΜΦ: Δοὺξ ὁ Ἀμυριάλης Τ   17. ,ϛ(ῶ)ϡλε Μ: ϛϡλε΄ ΤΦ   21. Γίδωνος ἔγραψα: Γήδωνος ΜΤΦ. Ἴδε σ. 266, 10, 11, 13.   22. τὸ ΜΤ: τὰ Φ   παράδημα Μ: παράσημα ΤΦ   Μετὰ τὴν λέξιν παράβημα κενὸν 10 στίχων, ὡσεὶ 270 γραμμάτων Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

57. Τῷ δὲ αὐτῷ ἔτει, μηνὶ Νοεμβρίου ἦλθε καὶ ἀπὸ Γοτθίας ἡ βασίλισσα κυρὰ Μαρία, ἡ τοῦ κῦρ Ἀλεξίου ἐκ τῆς Θεοδώρας θυγάτηρ, καὶ εὐλογήθη μετὰ εὐσεβοῦς δεσπότου, τοῦ ἀνδρὸς αὐτῆς κῦρ Δαβὶδ τοῦ μεγάλου Κομνηνοῦ.

Ἐν τέλει δὲ παρατηρῶ, ὅτι ὁ ἀναγινώσκων τὸ κείμενον, οἷον παρέσχον αὐτὸ μετὰ τὴν ἀκριβῆ νέαν ἀντιβολὴν τοῦ κώδικος καὶ τὰς νέας περὶ αὐτοῦ φροντίδας, δὲν θἀπορήσῃ βεβαίως, ὅτι ἀφῆκ' ἀμεταβλήτους τοὺς ἐν τῷ κώδικι σολοικισμοὺς [1] καὶ τὰς περὶ τοὺς τύπους ἀνωμαλίας ἃς παρέχει ὁ κῶδιξ. Ἔπραξα δὲ τοῦτο ἀγνοῶν, ἂν αὗται προέρχωνται ἐξ ἀνεπιστασίας τοῦ βιβλιογράφου ἢ ἐκ γλωσσικῆς ἀστασίας αὐτοῦ τοῦ συγγραφέως τοῦ χρονικοῦ. Οὕτω φέρονται πλὴν τινων παρατεθέντων ἤδη ἐν ταῖς ὑποσελιδίοις σημειώσεσιν οἱ τύποι *θυγατέρα* (σ. 269,3. 284,16. 293,12 καὶ *θυγατέραν* (σ. 286,21. 290,10,12,14. 292,15. 293,14), *Τραπεζοῦντα* ἐν δοτικῇ (σ. 286,8) καὶ *Τραπεζοῦντι* (σ. 268,8,21. 275,28. 285,2. 290,10. 291,20), *Τραπεζοῦντα* ἐν αἰτιατικῇ (σ. 266,5. 268,6. 276,20-283,2) καὶ *Τραπεζοῦνταν* (σ. 290,9), *βασιλέα* (σ. 271,6. 279,10. 288,12. 289,16. 291,7,9. 292,14. 293,12) καὶ *βασιλέαν* (σ. 288,1), ἐν παραβολῇ πρὸς τὸ *ἑβδομάδαν* (σ. 290,1), *ἤλθαμεν* (σ. 278,8. 284,17), *ἀπήλθαμεν* (σ. 278,5. 284,6-288,10,12) καὶ *ἀπήλθομεν* (σ. 280,5. 283,3), *ἀνήλθομεν* (σ. 286,16), *ἦλθαν* (σ. 275,18. 276,3,11. 278,18), *ἀπῆλθαν* (σ. 274,19. 276,1) καὶ *ἦλθον* (σ. 280,2), *ἀπῆλθον* (σ. 273,23. 274,6. 276,10,23. 279,3), *εἰςῆλθον* (σ. 283,24) καὶ *ἤλθασιν* (σ. 273,21), *αἰχμαλωτίσθη* (σ. 275,17) καὶ *ᾐχμαλώτευσεν* (σ. 279,22), *ᾐχμαλωτίσαμεν* (σ. 286,6), *ἐπεριώρισε* (σ 286,6.

2. τῆς Θεοδώρας ἔγραψα: τῶν Θεοδώρων ΜΤΦ 3. Δαβὶδ ἔγραψα: δᾶδ' Μ: Δαυΐδ ΤΦ

[1] Ἴδε μετοχὴν ἀντὶ ρήματος ἐν σ. 279, 10, ὀνομαστικὰς ἀπολύτους ἐν σ. 271, 1-272,13,15-279,16-280,12,292,2 κ. ἑ.

ΕΡΓΑΣΤΗΡΙΟ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

270,20. 274,23), *ἐπεριώρισαν* (σ. 273,19), *ἐπεριωρίσθησαν* (σ. 272,17) καὶ *περιώρισεν* (σ. 279,15), *περιωρίσθη* (σ. 285,11), *περιωρίσθησαν* (σ. 276,9. 277,7,18), *παρεδόθη* (σ. 267,14) καὶ *ἐπαρεδόθησαν* (σ. 278,13), *ἔςμιξιν* (σ. 283,5), *ἐςμίγαμεν* (σ. 288,12), *ἐςμιχθῶμεν* (σ. 284,18), *ἐςμιχθέντες* (σ. 285,1) καὶ *εἰςμιχθεὶς* (σ. 290.13), *τὴν ἔκβασιν* (σ. 287,20) καὶ *τὸ ἔκβαν* (σ. 288,11), *ἀμυτζαντάριοι* (σ. 274,14) καὶ *ἀμυρτζαντάριος* (σ. 275,5), *ἐπικέρνης* (σ. 275,4) καὶ *πικέρνης* (σ. 278,9 10), *Χερίαναν* (σ. 279,22), *Χερίανας* (σ. 280,5) καὶ *Χερίανης* (σ. 288,17), ***Παλαιολογίνα*** (σ. 269,11. 272,5. 273,11. 274,1) καὶ ***Παλαιολογίνη*** (σ. 269,4), *Ἀμινσῶ* ἐν γενικῇ (σ. 276,12) καὶ *Ἀμινσοῦν* ἐν αἰτιατικῇ (σ. 285,9). Προςέτι δ' ἀναγκαῖον ὑπέλαβον νὰ τηρήσω καὶ τὰς γραφὰς *Σεπτέβριος* καὶ *Δεκέβριος*, ἃς οἱ πρότεροι ἐκδόται ἐπηνώρθωσαν σιωπηρῶς ἢ ἐξ ἀβλεψίας.

---

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006